Εἰ γὰρ καὶ ἀπατήσῃ με καὶ αἰχμάλωτον λάβῃ,
οὐ μὴ τῇ προαιρέσει μου οὐδὲ τῇ ῥαθυμίᾳ
τοῦτο προσεπιγράψηται, τῇ δὲ ἐγκαταλείψει
σῇ τὸ πᾶν ἀναθέμενος τὰ τοιαῦτα ἐρεῖ μοι ·
Ἴδε, εἰς ὃν ἐθάρρησας, ἴδε, εἰς ὃν προσῆλθες,
ἴδε, ὃν οἷου σε φιλεῖν, ὃν οἷου ἀγαπᾶν σε
καὶ ἀδελφὸν καὶ φίλον σε, υἱὸν καὶ κληρονόμον
ἐνεκαύχω κεκτῆσθαι σε, πῶς ἐγκατέλιπέ σε,
εἰς τὰς ἐμάς τε, τοῦ ἐχθροῦ, χεῖρας ἐξέδοτό σε
καὶ αἴφνης ἀπεστράφη σε, αἴφνης ἐμίσησέ σε ; —
Μὴ οὖν ἀκοῦσαι ταῦτα με, σῶτερ, ἐγκαταλείψῃς,
μὴ ὄνειδος γενήσεσθαι σοῦ ἐάσῃς, Θεέ μου,
μὴ βασιλεῦ, μὴ κύριε, ὁ τοῦ σκότους με πάλαι
καὶ τῶν χειρῶν καὶ φάρυγγος ἐκείνου με ἐξάξας
καὶ τῷ φωτὶ ἐλεύθερον τῷ σῷ με παραστήσας !
Σὲ γὰρ ὁρῶν τιτρώσκομαι τὰ ἐντὸς τῆς καρδίας
καὶ βλέπειν οὐκ ἰσχύω σε καὶ μὴ βλέπειν οὐ φέρω ·
ἀπρόσιτον τὸ κάλλος σου, ἀμίμητον τὸ εἶδος,
ἀσύγκριτος ἡ δόξα σου, καὶ τίς ποτέ σε εἶδεν
ἢ τίς ἰδεῖν σε δυνηθῇ ὅλον, σέ, τὸν Θεόν μου ;
Τὸ πᾶν γὰρ ποῖος ὀφθαλμὸς κατιδεῖν ἐξισχύσει ;
Τὸν ὄντα δὲ ὑπὲρ τὸ πᾶν ποῖος νοῦς καταλάβῃ,
περιλαβεῖν τε δυνηθῇ ἢ ἐκτανθῆναι ὅλος
πρὸς ὅλον καὶ θεάσασθαι τὸν συνοχέα πάντων,
τὸν πάντων ἔξω καὶ τὸ πᾶν καὶ τὰ πάντα πληροῦντα

B D (E) F H O R Z — METRUM XV

62 σῇ τὸ πᾶν : πᾶν τῇ σῇ D ‖ 66 ἐγκατέλειπέ D ‖ 74-227 > B ‖ 75 Σ θεῖος ἔρως D ‖ 81 ἐκταθῆναι RZ ‖ ὅλως H

77-78. I Tim. 6, 16

qu'il ne dise pas : « Où est ton Christ, où donc ton Protecteur?
n'est-ce pas lui, lui-même qui t'a livré entre mes mains? »
Car s'il arrive à me tromper, s'il arrive à me faire prisonnier,
il ne le mettra pas au compte de ma volonté ni de ma lâcheté,
mais il attribuera tout à ta défection,
et il me parlera de la sorte :
« Vois en qui tu as confiance, vois à qui tu as eu recours,
vois celui dont tu te croyais aimé, dont tu te croyais chéri,
et pour qui tu te flattais d'être un frère et un ami,
un fils et un héritier, — vois comme il t'a abandonné
et livré entre mes mains à moi, ton ennemi!
(vois comme) il t'a subitement tourné le dos, subitement pris en haine! »
— Ne m'abandonne donc pas, Sauveur, (ne permets pas) que j'entende ces mots,
ne me laisse pas devenir une occasion d'opprobre pour toi, mon Dieu,
ne (le souffre pas), Roi, Seigneur, qui jadis à ces ténèbres,
à ces mains, à cette gueule m'as arraché
pour me placer libre dans la lumière, dans ta lumière!
Car te voir me blesse au-dedans de mon cœur.
Je n'ai pas la force de te regarder, mais ne pas te regarder, j'en suis incapable.
Ta beauté est inaccessible, ta splendeur sans pareille,
ta gloire incomparable : et qui, jamais t'a vu
ou pourrait te voir tout entier, toi, mon Dieu?
Quel œil, en effet, aura la force de contempler le Tout?
mais ce qui est au-dessus du Tout, quel esprit le saisira
et pourra comprendre ou se rendre totalement coextensif
à sa totalité, et contempler Celui qui tient ensemble tous les êtres,
qui est en dehors de tous et qui remplit le Tout et tout (ce qu'il contient)

καὶ ἔξω πάλιν τὸν αὐτὸν ὅλον ὄντα ἀφράστως ;
Ὅμως ὡς ἥλιον ὁρῶ καὶ ὡς ἄστρον σε βλέπω,
καὶ ἐν τῷ κόλπῳ φέρω σε, καθάπερ μαργαρίτην,
καὶ ὡς λαμπάδα βλέπω σε σκεύους ἡμμένην ἔνδον.
Ὅτι δὲ οὐ πλατύνεσαι, ὅτι μὴ ὅλον φῶς με
ἀποτελεῖς καὶ δείκνυσαι ὅλος μοι, οἷος, ὅσος
ὑπάρχεις, ὅλως οὐ δοκῶ ἔχειν σε τὴν ζωήν μου,
ἀλλὰ θρηνῶ ὡς τις πτωχὸς γεγονὼς ἐκ πλουσίων
καὶ ἐξ ἐνδόξων ἄτιμος καὶ μὴ ἔχων ἐλπίδα.
Τοῦτο οὖν βλέπων ὁ ἐχθρὸς λέγει μοι · Σὺ οὐ σῴζῃ ·
καὶ γὰρ ἰδού, ἐκπέπτωκας, ἠστόχησας ἐλπίδων,
ὅτι οὐκ ἔχεις πρὸς Θεὸν ὡς πάλαι παρρησίαν. —
Πρὸς ὃν οὐ λόγον φθέγγομαι, οὐκ ἀξιῶ, Θεέ μου,
ἀλλ' ἐμφυσῶ, καὶ ἄφαντος εὐθὺς ἀποτελεῖται.
Οὕτως αἰτοῦμαι, δέσποτα, οὕτως παρακαλῶ σου,
τὴν εὐσπλαγχνίαν δώρησαι καὶ τότε μοι, σωτήρ μου,
ὅτε ψυχὴ ἐξέλθῃ μου τοῦ σώματος, ἰσχύσαι
μόνῳ τῷ ἐμφυσήματι ἅπαντας καταισχύναι
τοὺς κατ' ἐμοῦ, τοῦ δούλου σου, μέλλοντας ἐπιτρέχειν,
καὶ διαβῆναι ἀβλαβεῖ φρουρουμένῳ φωτί σου
τοῦ Πνεύματος καὶ ἔμπροσθεν στῆναι τοῦ βήματός σου,

B D (E) F H O R Z METRUM XV

85 Σ ὅρα τίνες τῶν θείων ὕμνων οἱ ἔρωτες D ‖ 91 ὅστις DFHR ‖ 96 φθέγξομαι F ‖ 97 ἐκφυσῶ Z ‖ 98 οὕτως³ : οὕτω FRZ ‖ 102 κατ' ἐμὲ F ‖ 103 ἀβλαβεῖ R : ἀβλαβῇ cet. codd. ‖ φρουρουμένον Z

95. I Jn 3, 21 104. II Cor. 5, 21

et, d'une manière inexprimable, se retrouve toujours lui tout entier en dehors?
Et pourtant je te vois, tel un soleil[1]; je te regarde, telle une étoile
et je te porte dans mon sein comme une perle,
je te regarde, comme une lampe allumée au-dedans d'un vase.
Mais parce que tu ne grandis pas, que tu ne me rends pas tout entier
lumière et ne te montres pas tout entier à moi, tel et aussi grand
que tu es, il me semble ne pas te posséder du tout, toi ma vie,
et je gémis, comme un homme tombé de la richesse dans la pauvreté,
et de la gloire dans le déshonneur, dépourvu de tout espoir.
Ce que voyant, l'Ennemi me dit : « Pas de salut pour toi,
car voici, c'est l'échec, c'est la ruine de tous tes espoirs,
parce que tu n'as plus devant Dieu ta confiance d'antan! »
Et je ne lui réplique pas un mot, je ne lui fais pas cet honneur, mon Dieu,
mais je lui souffle dessus[2], et tout aussitôt il disparaît.
Ainsi, je t'en prie, Maître; ainsi, je t'en supplie,
accorde-moi cette miséricorde, mon Sauveur, que pour moi le jour
où mon âme sortira de mon corps, je puisse
d'un simple souffle, couvrir de confusion
tous ceux qui viendront m'attaquer, moi, ton serviteur;
que je puisse franchir le pas sans dommage[3], protégé par la lumière
de ton Esprit, et me tenir face à ton tribunal,

1. Je te vois comme un soleil, comme un astre, au-dedans de moi, cf. **22**, 5-10. Une « scholie » (cf. apparat critique) note ici : Vois ce que sont les amours des hymnes divins.

2. Je lui souffle dessus. Peut-être Syméon songe-t-il à *II Thess.* 2, 8. Plus probablement il se réfère à toutes les vies de saints qu'il a lues dans lesquelles les amis de Dieu ont à lutter avec Satan. Le souffle, accompagné d'invocations, y sert souvent à repousser l'Adversaire ; cf. par ex. dans la *Vie de saint Antoine* (*PG* 26, 901 A) « Ἐγὼ ἐνεφύσησα κατ' αὐτοῦ ... καὶ εὐθὺς ... ἠφανίσθη ».

3. La plupart des mss présentent la leçon ἀβλαβῇ, faute qu'explique la proximité de l'infinitif διαβῆναι. Il faut préférer la leçon de R ἀβλαβεῖ : le datif est exigé par le μοι du v. 99 et se retrouve tout naturellement ensuite.

ἔχοντι χάριν σου, Χριστέ, συνοῦσαν μοι τὴν θείαν,
σκέπουσαν, ἀκαταίσχυντον δεικνύουσάν με ὅλον.
Τίς γὰρ τολμήσειεν ἄρα ἔμπροσθέν σου ὀφθῆναι,
εἰ μὴ αὐτὴν ἐνδέδυται, εἰ μὴ αὐτὴν ἐντός γε
κατέχει καὶ φωτίζεται ὑπ' αὐτῆς ; Πῶς τὴν δόξαν
τὴν ἄστεκτον θεάσασθαι δυνηθῇ πᾶς τις ὅλως ;
Δόξαν Θεοῦ γὰρ ἄνθρωπος, φύσιν θεότητός τε
φύσις ἀνθρώπου ταπεινὴ πῶς κατιδεῖν ἰσχύσει ;
Ἔστι Θεὸς γὰρ ἄκτιστος, ἡμεῖς κτιστοὶ δὲ πάντες,
ἐκεῖνος πέλει ἄφθαρτος, ἡμεῖς φθαρτοὶ καὶ κόνις,
ἐκεῖνος πνεῦμα πέφυκεν ὑπὲρ ἅπαν δὲ πνεῦμα
ὡς ποιητὴς πνευμάτων τε καὶ δεσπότης ὑπάρχων,
ἡμεῖς σάρκες χοϊκαὶ καὶ γεώδης οὐσία,
ἐκεῖνος πάντων ποιητής, ἄναρχος ἄληπτός τε,
ἡμεῖς σκώληκες ὁμοῦ καὶ βόρβορος καὶ τέφρα·
καὶ τίς ἰσχύσει ἐξ ἡμῶν τοῦτον ποτὲ ἰδέσθαι
ἐξ οἰκείας δυνάμεως ἢ ἐνεργείας ὅλως,
εἰ μὴ αὐτὸς ἐκπέμψειε Πνεῦμα αὐτοῦ τὸ Θεῖον
καὶ δι' αὐτοῦ τῷ ἀσθενεῖ τῆς φύσεως παράσχῃ
ῥώμην, ἰσχὺν καὶ δύναμιν καὶ ἱκανὸν ποιήσῃ
τὸν ἄνθρωπον τοῦ κατιδεῖν δόξαν αὐτοῦ τὴν θείαν ;
Ἄλλως γὰρ οὐ θεάσεται οὐδὲ ἰδεῖν ἰσχύσει
ἀνθρώπων τις τὸν κύριον ἐρχόμενον ἐν δόξῃ,
καὶ οὕτως χωρισθήσονται ἄδικοι τῶν δικαίων
καὶ σκότει καλυφθήσονται ἁμαρτωλοὶ καὶ πάντες
ὅσοι μὴ ἔξουσι τὸ φῶς ἐν αὐτοῖς ἀπ' ἐντεῦθεν.
Οἱ συνημμένοι δὲ αὐτῷ ἐκ τῶν ὧδε καὶ τότε

B D (E) F H O R Z — METRUM XV

105 ἔχοντι : ἔχων τὴν DO ‖ 107 M ! ‖ ἄρα γὰρ τολμήσειεν D γὰρ ἄρα τολμήσειεν ∾ R ‖ 113 δὲ : τὲ Z ‖ 117 M ! ‖ ἡμεῖς +δὲ D ‖ γεώδης+τε F ‖ 118 ἄληπτός : ἀκατάληπτός FH ‖ 119 M ! ‖ ἡμεῖς+δὲ D ‖ ὁμοῦ : ἐμοῦ O ‖ 124 ποιῆσαι R ‖ 126 οὐδὲ : οὔτε Z ‖ 128 οὕτω FR ‖ 130 ἐπεντεῦθεν Z

126-127. I Tim. 6, 16 — 127. Matth. 24, 30

ayant avec moi, Christ, ta grâce divine
pour me protéger et m'épargner toute confusion!
Qui donc, en effet, oserait paraître devant toi
s'il n'est revêtu de cette grâce, s'il ne la possède
au-dedans de lui et n'est illuminé par elle? Comment un homme, quel qu'il soit,
pourra-t-il seulement contempler ta gloire insoutenable?
Oui, comment l'homme sera-t-il capable de lever les yeux vers la gloire de Dieu,
et la nature, l'humble nature humaine, vers la nature divine?
Car Dieu est incréé, et nous tous créatures;
Lui est impérissable — nous périssables et poussière;
Lui esprit et au-dessus de tout esprit
en tant que créateur des esprits et leur maître
— nous, chair tirée de la poussière, substance terreuse;
Lui, créateur de tous, sans commencement, insaisissable,
— nous, à la fois vers, boue et cendre.
Lequel d'entre nous pourra jamais, le moins du monde,
par sa propre force ou ses efforts Le voir
si Lui-même n'envoie son Esprit divin
et ne confère, grâce à Lui, à l'infirmité de notre nature
vigueur, force et puissance, si Lui-même ne rend l'homme
capable de contempler sa gloire à Lui, sa gloire divine?
Car, autrement, pas un homme ne verra ou n'aura la force
de contempler le Seigneur venant en gloire.
C'est ainsi que les injustes seront séparés des justes
et que les pécheurs seront engloutis par l'obscurité, tous ceux
qui dès ici-bas[1] ne posséderont pas en eux la lumière :
mais ceux qui dès cette vie lui étaient conjoints, alors aussi

1. Il faut dès ici-bas posséder en soi la lumière divine : thème sur lequel Syméon revient continuellement (**1,** 73 ; **17,** 507-fin, **44,** 416...) et qui est un trait caractéristique de sa doctrine spirituelle. Cf. *SC* 96 : Introduction de Mgr B. KRIVOCHÉINE, p. 37-42.

μυστικῶς συναφθήσονται τῷ Θεῷ καὶ γνησίως
καὶ τῆς αὐτοῦ ὑπάρξουσι μετουσίας ἀχώριστοι·
οἱ δ' ἀπελθόντες τοῦ φωτὸς αὐτοῦ κεχωρισμένοι
πῶς τότε ἑνωθήσονται ἢ κατὰ ποῖον τρόπον,
μαθεῖν παρ' ὑμῶν βούλομαι, εἴτε ὑμᾶς διδάξαι·
Θεὸς γέγονεν ἄνθρωπος, ἡνώθη τε ἀνθρώποις,
μετέσχεν ἀνθρωπότητος καὶ μετέδωκε πᾶσι
τοῖς εἰς αὐτὸν πιστεύουσι καὶ τὴν πίστιν ἐξ ἔργων
δεικνύουσι θεότητος αὐτοῦ τῇ μετουσίᾳ.
Τούτους οὖν εἶπε σῴζεσθαι μόνους τοὺς μετασχόντας
ἐκείνου τῆς θεότητος, καθὼς αὐτὸς μετέσχε
τῆς ἡμετέρας φύσεως, ὁ ποιητὴς τῶν πάντων,
ὁ Παῦλος ὡς μαρτύρεται Χριστοῦ τὴν ἐκκλησίαν
ἓν γενήσεσθαι σῶμα γε δεσποτικὸν καὶ θεῖον,
ἄσπιλον, ἄμωμον ὁμοῦ, ῥυτίδος πάσης δίχα·
οἵτινες ἂν εἶεν οἱ πιστοί, κεφαλὴ ὁ Χριστὸς δέ.
Εἰ τοῦτο τοίνυν ἔσεται οὕτως, ὥσπερ καὶ ἔστι,
τίς ἄρα τότε τολμήσει ῥυπαρὸς αὐτοῦ προσψαῦσαι
ἢ τίς προσκολληθήσεται ἀνάξιος τυγχάνων;
Εἰ γὰρ καὶ νῦν ἐκβάλλονται τῆς ἐκκλησίας ἔξω
καὶ μετασχεῖν κωλύονται ἁμαρτωλοὶ εἰς ἅπαν,
μᾶλλον δὲ καὶ τῆς τῶν θείων θέας ἀποστεροῦνται
οἱ μὴ πέλοντες ἅγιοι, πῶς οἵμοι τότε ἄρα

B D (E) F H O R Z — METRUM XV

133 M! ‖ καὶ τῆς αὐτοῦ ἀχώριστοι ἔσονται μετ' οὐσίας D ‖ 137 Σ ὅρα φοβερὸν ὅλον H ‖ 138 πᾶσιν O ‖ 140 τὴν μετουσίαν DF τῆς μετουσίας ORZ ‖ 141 εἶπεν D ‖ 144 ὁ Παῦλος : Παῦλος γὰρ D ‖ 145 δεσποτικὸν γενήσεσθαι σῶμα ἓν γε καὶ θεῖον ∾ D ‖ 147 M! ‖ ἂν > D ‖ 148 οὕτως > ORZ ‖ ὥσπερ+σαφῶς RZ ‖ 149 M! ‖ ἄρα : αὐτοῦ D ‖ τολμήσει τότε ∾ ORZ ‖ ῥυπαρὸς τολμήσει ∾ D ‖ αὐτοῦ : τοῦ D ‖ 153 M! ‖ καὶ τῆς τῶν θείων θέας δὲ μᾶλλον ἀποστεροῦνται D

139. Jac. 2, 17 — 144 s. Éphés. 1, 22-23; 4, 4 — 146. Éphés. 5, 27

1. Scholie : Vois, tout cela est effrayant.

ils seront conjoints à Dieu, d'une manière mystérieuse et très réelle,
ils demeureront inséparablement dans son intimité;
ceux qui au contraire auront quitté cette vie, séparés de sa lumière,
comment, alors, deviendront-ils un avec Lui, de quelle façon[1]?
C'est ce que je veux apprendre de vous ou bien vous enseigner :
Dieu s'est fait homme, il s'est uni aux hommes,
il a partagé notre humanité et il a donné part à tous ceux
qui croient en Lui et manifestent leur foi
par leurs œuvres, part et communion à sa divinité.
C'est donc eux et eux seuls qui sont sauvés, a-t-il dit, ceux qui partagent
sa divinité à Lui, comme Lui-même a partagé
notre nature, Lui le Créateur de tout,
selon le témoignage de Paul : que l'Église du Christ
doit devenir l'unique corps du Maître[2], (corps) divin,
sans tache, sans défaut non plus, exempt de toute ride
— ce corps qui n'est autre que les fidèles et dont le Christ est la tête.
Si donc il doit en être ainsi, comme c'est bien le cas,
qui, alors, qui osera, étant sale, le toucher?
qui donc, indigne, s'attachera à lui?
Si en effet, dès maintenant, on exclut de l'église
les pécheurs et qu'on les retranche de toute communion,
ou plutôt si l'on interdit jusqu'à la vue des choses divines
à ceux qui ne sont pas saints, comment, hélas! comment donc, alors,

2. Il serait aussi possible de rattacher Χριστοῦ à σῶμα. Le sens deviendrait alors : que l'Église doit devenir l'unique corps du Christ...

τῷ παναμώμῳ σώματι τοῦ Θεοῦ ἐνωθῶσι
καὶ μέλη γένωνται Χριστοῦ ἐσπιλωμένοι ὄντες ;
Οὐκ ἔστι τοῦτο, ἀδελφοί, οὐ γενήσεται ὅλως !
Οἱ δὲ τοῦ θείου σώματος ἡγουν τῆς ἐκκλησίας
καὶ τοῦ χοροῦ τῶν ἐκλεκτῶν χωριζόμενοι, λέγε,
ποῦ ἄρα ἀπελεύσονται, εἰς ποίαν βασιλείαν,
εἰς ποῖον τόπον, φράσον μοι, ἐλπίζουσι σκηνῶσαι ;
Πάντως γὰρ καὶ παράδεισος, ὁ Ἀβραάμ τε κόλπος
καὶ πᾶς τόπος ἀνέσεως τῶν σῳζομένων ἔστιν ·
οἱ δὲ σῳζόμενοί εἰσιν ἅγιοι πάντως πάντες,
ὡς πᾶσα θεία μαρτυρεῖ γραφὴ καὶ ἐκδιδάσκει.
Πολλαὶ γὰρ καὶ μοναί εἰσιν, ἀλλ' ἐντὸς τοῦ νυμφῶνος ·
καθάπερ γὰρ εἷς οὐρανὸς καὶ ἐν αὐτῷ ἀστέρες
ἀλλήλων διαφέροντες ἐν τιμῇ τε καὶ δόξῃ,
οὕτω καὶ εἷς νυμφών ἐστι καὶ μία βασιλεία,
ἀλλὰ γὰρ καὶ παράδεισος καὶ πόλις ἡ ἁγία
καὶ πᾶς τόπος ἀνέσεως ὁ Θεός ἐστι μόνος.
Ὡς γὰρ οὐκ ἔχει ἄνεσιν ἄνθρωπος ἐν τῷ βίῳ,
ὁ μὴ μένων ἐν τῷ Θεῷ καὶ Θεὸς ἐν αὐτῷ δέ,
οὕτω καὶ μετὰ θάνατον ἐκτὸς ἐκείνου μόνου,
οἰμαι, οὐκ ἔσται ἄνεσις, οὐ τόπος ἄνευ λύπης,
οὐ στεναγμοῦ, οὐ θλίψεως ὅλως ἀπηλλαγμένος.
Σπουδάσωμεν οὖν, ἀδελφοί, σπουδάσωμεν πρὸ τέλους
προσκολληθῆναι τῷ Θεῷ, τῷ ποιητῇ τῶν πάντων,
τῷ κατελθόντι δι' ἡμᾶς ἐπὶ γῆς τοὺς ἀθλίους,
τῷ κλίναντι τοὺς οὐρανοὺς καὶ λαθόντι ἀγγέλους

B D (E) F H O R Z — METRUM XV

156 μέλη : μέλλει R ‖ 166 καὶ γὰρ ∾ ORZ ‖ 169 οὕτως DH ‖ 178 πάντων : ὅλων D ‖ 180 λαθόντα O

156. I Cor. 6, 15 — 162. Lc 16, 22 — 166. Jn 14, 2 — 167-168. I Cor. 15, 41 — 173. Jn 15, 4.5 — 180. Ps. 17, 10

1. « Il s'est caché des anges ». Syméon se fait ici l'écho d'une vieille tradition qui remonte à l'Ascension d'Isaïe ; cf. J. DANIÉLOU, *Théologie du Judéo-Christianisme*, Paris 1958, p. 228 : la descente cachée.

s'uniront-ils au corps très pur de Dieu,
deviendront-ils membres du Christ, alors qu'ils sont souillés?
Cela n'est pas possible, frères, cela n'arrivera jamais!
Maintenant ceux qui sont séparés du Corps divin, c'est-à-dire de l'Église
et du chœur des élus, dis-moi,
où donc iront-ils? en quel Royaume,
en quel lieu, je te le demande, espèrent-ils habiter?
puisque assurément le Paradis, le Sein d'Abraham
ou tout autre lieu de repos est réservé aux sauvés,
et qu'assurément les sauvés ce sont tous les saints,
comme toute la divine Écriture en témoigne et (nous) l'enseigne.
Nombreuses, certes, sont les demeures, mais à l'intérieur de la salle des noces.
De même en effet qu'il n'y a qu'un ciel, et dans le ciel des astres
qui diffèrent entre eux en honneur et en gloire,
de même il n'y a qu'une salle des noces, qu'un Royaume :
bien plus, le Paradis, la Cité Sainte
et tout autre lieu de repos n'est autre que Dieu seul.
Pas plus en effet qu'il n'a de repos en cette vie,
l'homme qui ne demeure pas en Dieu et Dieu en lui,
pas davantage aussi après la mort, en dehors de ce Dieu seul,
il n'y aura, je pense, de repos ou de lieu sans chagrin,
de lieu totalement affranchi de gémissement et d'affliction.
Hâtons-nous donc, frères, hâtons-nous avant le terme
de nous attacher à Dieu, le Créateur de tout,
qui est descendu sur terre pour nous malheureux,
qui a incliné les cieux et s'est caché des anges[1],

καὶ ἐν γαστρὶ σκηνώσαντι τῆς ἁγίας παρθένου
καὶ σαρκωθέντι ἐξ αὐτῆς ἀτρέπτως, ἀνεκφράστως
καὶ προελθόντι εἰς ἡμῶν ἁπάντων σωτηρίαν.
Ἡ σωτηρία δὲ ἡμῶν αὕτη πάντως ὑπάρχει,
καθὼς πολλάκις εἴπομεν καὶ νῦν αὖθις ἐροῦμεν,
οὐχὶ ἡμεῖς ἐξ ἑαυτῶν, ἀλλὰ τὸ θεῖον στόμα
ἐπέφανε τὸ μέγα φῶς τοῦ μέλλοντος αἰῶνος.
Ἡ βασιλεία οὐρανῶν ἐπὶ τῆς γῆς κατῆλθε,
μᾶλλον δὲ ὁ παμβασιλεὺς τῶν ἄνω καὶ τῶν κάτω
ἐλήλυθεν, ἠθέλησεν ἡμῖν ὁμοιωθῆναι,
ἵν' ἐξ αὐτοῦ ὡς ἐκ φωτὸς πάντες μεταλαβόντες
φῶτα δειχθῶμεν δεύτερα, ὁμοιά γε τοῦ πρώτου,
καὶ βασιλείας οὐρανῶν κοινωνοὶ καὶ τῆς δόξης
συμμέτοχοι ὑπάρξωμεν ὁμοῦ καὶ κληρονόμοι
τῶν αἰωνίων ἀγαθῶν, ὧν οὐδεὶς ποτε εἶδε.
Ταῦτα δ' εἰσίν, ὡς πείθομαι καὶ πιστεύω καὶ λέγω,
Πατήρ, Υἱὸς καὶ Ἅγιον Πνεῦμα, Τριὰς Ἁγία,
τοῦτο πηγὴ τῶν ἀγαθῶν, τοῦτο ζωὴ τῶν ὄντων,
τοῦτο τρυφὴ καὶ ἄνεσις, τοῦτο στολὴ καὶ δόξα,
τοῦτο χαρὰ ἀνέκφραστος καὶ σωτηρία πάντων
τῶν μετασχόντων τῆς αὐτοῦ ἐλλάμψεως ἀῤῥήτου
καὶ κοινωνίαν μετ' αὐτοῦ ἐχόντων ἐν αἰσθήσει.
Ἀκούσατε· σωτὴρ καὶ γὰρ διὰ τοῦτο καλεῖται,
ὅτι πᾶσιν, οἷς ἑνωθῇ, σωτηρίαν παρέχει,
ἡ σωτηρία δέ ἐστιν κακῶν μὲν πάντων λύσις,
καλῶν δὲ πάντων ἐν ταὐτῷ εὕρεσις αἰωνία,
ἀπὸ θανάτου μὲν ζωήν, ἀπὸ δὲ σκότους φάος,

B D (E) F H O R Z — METRUM XV

188 οὐρανοῦ Z ‖ κατῆλθεν D ‖ 195 εἶδεν DRZ ‖ 197 Ἅγιον Πνεῦμα : Πνεῦμα τὸ Ἅγιον ORZ ‖ 203 καὶ γὰρ σωτὴρ ∾ D ‖ 205 ἐστι FORZ ‖ 206 ἐν αὐτῷ ORZ ‖ 207 ζωή H

195. I Cor. 2, 9

---

1. « Lumières secondes ». L'expérience de Syméon, c'est que la vision du Dieu Lumière le rend lui-même lumineux (**25,** 47-48 et

qui a habité dans le sein de la Vierge sainte,
qui d'elle a pris chair, sans mutation, d'une façon ineffable,
et qui en est sorti pour notre salut à tous.
Or notre salut n'est rien d'autre que ceci,
comme souvent nous l'avons dit et allons encore le redire
— non que nous parlions de nous-mêmes mais c'est la bouche de Dieu
qui a manifesté la grande lumière du siècle à venir — :
le Royaume des Cieux est descendu sur terre,
ou plutôt le Roi souverain des êtres d'en haut et des êtres d'en bas
est venu, il a voulu nous devenir semblable
afin que tous nous recevions de Lui, comme d'une lumière,
et devenions lumières secondes[1], semblables à la première,
afin que nous entrions en partage du Royaume des cieux,
qu'en même temps nous ayons part à sa gloire et soyons héritiers
des biens éternels que nul n'a jamais vus.
Ces biens qui ne sont autres — c'est ma conviction, c'est ma foi que j'affirme —
que le Père, le Fils et le Saint-Esprit, Trinité sainte :
voilà la source des biens, voilà la vie de tout ce qui existe,
voilà la jouissance et le repos, voilà la robe et la gloire,
voilà la joie inexprimable et le salut de tous ceux
qui reçoivent quelque chose de son ineffable illumination
et ont conscience d'être en communion avec lui.
Écoutez : la raison pour laquelle il est appelé Sauveur
c'est qu'à tous ceux à qui il s'unit, il procure le salut;
or le salut c'est d'être délivré de tous les maux
et de trouver du même coup tous les biens pour toujours :
la vie au lieu de la mort, la lumière au lieu des ténèbres

note), et semblable aux anges (**21,** 19) qu'il appelle aussi « lumières secondes » en **50,** 152. L'expression est tirée de Grégoire de Nazianze (cf. *infra*, p. 169, n. 1).

ἀπὸ δουλείας τῶν παθῶν καὶ πράξεων αἰσχίστων
ἐλευθερίαν παντελῆ πᾶσι χαριζομένη
τοῖς ἐνωθεῖσι τῷ Χριστῷ καὶ σωτῆρι τῶν ὅλων.
Οἱ καὶ τότε πᾶσαν μὲν χαρὰν ἀναφαίρετον κτῶνται,
πᾶσαν τε ἀγαλλίασιν καὶ πᾶσαν εὐφροσύνην,
οἱ δὲ κἂν ὅλως πέλοντες τούτου κεχωρισμένοι
καὶ μὴ ζητήσαντες αὐτὸν ἢ τούτῳ ἐνωθέντες
μηδὲ δουλείας τῶν παθῶν καὶ θανάτου ῥυσθέντες,
κἂν βασιλεῖς, κἂν ἄρχοντες εἰσί, κἂν μεγιστᾶνες,
κἂν τρυφᾶν κἂν εὐφραίνεσθαι κἂν ἀπόλαυσιν ἔχειν
οἴονται καὶ νομίζουσιν ἐν ἀγαθοῖς ὑπάρχειν,
ἀλλ' οὐδέποτε κτήσονται τοιαύτην εὐφροσύνην,
οἵαν οἱ δοῦλοι τοῦ Χριστοῦ, οἱ ἐκ πάντων ἐλεύθεροι
ἀτόπων ἐπιθυμιῶν ἡδονῶν τε καὶ δόξης
ἔχουσιν ἀνεκλάλητον, ἄφραστον οὖσαν πάντῃ,
ἣν οὐδεὶς ποτε γνώσεται, οὐ μάθει, οὐ κατίδει
τῶν μὴ γνησίως καὶ θερμῶς τῷ Χριστῷ κολληθέντων,
ἀνακραθέντων τε αὐτῷ ἐν ἑνώσει ἀῤῥήτῳ,
ᾧ πρέπει δόξα καὶ τιμή, αἶνος καὶ ἅπας ὕμνος
ὑπὸ πάσης τῆς κτίσεως καὶ πνοῆς εἰς αἰῶνας,
ἀμήν.

B D (E) F H O R Z — METRUM XV

211 M! ‖ καὶ > R ‖ μὲν πᾶσαν ∽ D ‖ 212 τε : δὲ RZ ‖ 213 κἂν ὅλως : καλὸν ὡς FH ‖ 217 τρυφᾶν κἂν : τρυφᾶν καὶ ORZ ‖ 218 οἴωνται R ‖ νομίζωσιν ORZ ‖ 220 M ! ‖ ἐκ > D ‖ ἐλεύθεροι πάντων ∽ D ‖ ἐλεύθεροι ἐκ πάντων ∽ Z ‖ 221 Σ δοκιμασία τῶν χαρτίων O ‖ 222 ἀνεκλάλητον+χαρὰν καὶ θυμηδίαν καὶ θείαν ἀγαλλίασιν D ‖ 223 γνώσεται ποτὲ ∽ D ‖ μάθῃ DFORZ μάθοι H ‖ κατίδῃ DFORZ κατίδοι H ‖ 224 καὶ θερμῶς > O ‖ 227 τῆς > Z ‖ ἀμήν > FH ‖ Σ στίχοι σκη' D ‖ Σ στίχοι σκζ' H

et, au lieu de l'esclavage des passions et des actions infâmes,
la liberté totale accordée à tous ceux
qui se sont unis au Christ, Sauveur de tous les êtres :
alors ils posséderont, sans plus pouvoir la perdre, toute joie,
toute allégresse, toute béatitude,
tandis que ceux qui sont tant soit peu séparés de lui,
qui ne l'ont pas cherché, qui ne se sont pas unis avec lui
ni arrachés à l'esclavage des passions et à la mort[1],
ils ont beau être rois, ils ont beau être puissants, ils ont beau être princes,
ils ont beau se croire dans les délices, la béatitude et la jouissance,
s'imaginer qu'ils nagent dans le bonheur,
jamais ils n'obtiendront une béatitude
comme la possèdent les serviteurs du Christ, ceux qui sont libres
de tout désordre des convoitises, des voluptés et de la gloire,
(béatitude) indicible, totalement ineffable,
que nul jamais ne connaîtra, ne concevra ou ne verra
s'il ne s'est sincèrement et ardemment attaché au Christ
et ne s'est mêlé à lui dans une union inexprimable,
Lui à qui appartient gloire et honneur, louange et cantique
de toute la création et de tout ce qui respire, pour les siècles.
Amen.

216. Apoc. 6, 15 224. I Cor. 6, 17

1. Ces vers se retrouvent, avec des variations considérables, dans le ms. « n », cf. *Introd.*, *SC* 156, p. 32.

XLIII

Ὅτι κρεῖσσον τὸ καλῶς ποιμαίνεσθαι ἢ τοὺς μὴ βουλομένους ποιμαίνειν· οὐδὲν γὰρ ἔσται κέρδος τῷ ἄλλους μὲν σπουδάζοντι σῶσαι, ἑαυτὸν δὲ διὰ τῆς ἐκείνων ἀπολέσαντι προστασίας

Εἰπέ, Χριστέ, τῷ δούλῳ σου, εἰπέ, τὸ φῶς τοῦ κόσμου,
εἰπέ, ἡ γνῶσις τοῦ παντός, εἰπέ, λόγε, σοφία,
ἡ πάντα προγινώσκουσα, ἡ πάντα προειδυῖα
καὶ τὰ ἡμῖν συμφέροντα διδάσκουσα ἀφθόνως,
εἰπὲ καὶ δίδαξον κἀμὲ ὁδοὺς σωτηριώδεις
τῶν θελημάτων σου, σωτήρ, καὶ θείων προσταγμάτων!
Εἰπὲ καὶ μὴ παρίδῃς με, μὴ κρύψῃς, ὦ Θεέ μου,
ἐξ ἀναξίου δούλου σου τὸ θεῖον θέλημά σου!
Τί κρεῖσσον ἔστι παρὰ σοῦ, ποῖον εὐάρεστόν σοι
ἀπὸ τῶν δύο, φράσον μοι, ὦ φιλάνθρωπε σῶτερ·
τὸ ἐν μερίμνῃ εἶναι με τῶν τῆς μονῆς πραγμάτων
καὶ τῶν σωματικῶν χρειῶν τὸ ἀφθόνως φροντίζειν,
διεκδικεῖν τε ἅπαντα μετ' ἔχθρας τε καὶ μάχης,
ἢ τὸ ἀεὶ προσκαρτερεῖν μόνῃ τῇ ἡσυχίᾳ
καὶ συντηρεῖν ἀθόλωτον τὸν νοῦν καὶ τὴν καρδίαν
καὶ δέχεσθαι τῆς χάριτος τῆς σῆς τὰς λαμπηδόνας

B D (E) F H O Z — METRUM XV

Tit. κρεῖττον Z ‖ ἀπωλέσαντι Z ‖ 1-136 > B ‖ 9 τί : τὸ FH ‖ 10 δύω Z ‖ 11 τῆς μονῆς τῶν ∽ FH

1. Jn 8, 12 — 9. Sag. 9, 10

---

1. Syméon demande au Seigneur s'il doit chercher seulement son propre salut, dans le recueillement, ou travailler à celui de ses

XLIII

Que mieux vaut être bien conduit que de conduire des brebis contre leur gré ; car il n'aura rien gagné celui qui s'efforçait de sauver les autres, mais se sera perdu lui-même par le fait de les gouverner[1].

Parle, Christ, à ton serviteur, parle, lumière du monde,
parle, connaissance de l'Univers, parle, Verbe, Sagesse
qui connais tout d'avance, qui sais tout d'avance,
ne refuse pas de nous instruire de tout ce qui nous est utile.
Parle, et à moi aussi enseigne les voies salutaires
de tes volontés, Sauveur, de tes divins préceptes,
parle et ne détourne pas les yeux, ne cache pas, ô mon Dieu,
à ton indigne serviteur ta divine volonté.
Qu'est-ce qui est le meilleur à tes yeux, lequel des deux
te plaît (davantage), dis-moi, Sauveur, Ami de l'homme :
que je vive dans le souci des affaires du Monastère
et m'occupe sans réserve des besoins temporels,
que je me dispute et me batte pour défendre tous (nos droits),
— ou bien (me voir) cultiver sans relâche le recueillement et lui seul
et garder sans trouble mon esprit et mon cœur,
accueillir les éclairs de la grâce

frères (1-25). Le Christ lui répond qu'il est inutile de vouloir sauver les hommes contre leur gré ; Syméon doit rappeler simplement et calmement la vérité, sans s'inquiéter si ses paroles ne sont pas entendues (26-150). Prière finale de Syméon (151-155). Cet Hymne porte le nº 26 dans Z, le nº 30 dans Pontanus, *PG* 120, 575 C - 578 A.

καὶ καταυγάζεσθαι ἀεὶ τὰς τῆς ψυχῆς αἰσθήσεις
καὶ θείους λόγους μυστικῶς ἐνηχεῖσθαι καὶ ἄλλους
διδάσκειν πράως καὶ αὐτὸς διδάσκεσθαι ὡσαύτως
— ὁ λέγων γὰρ καὶ ἑαυτῷ τὰ λεγόμενα λέγει
καὶ πρῶτος οὗτος τοῦ ποιεῖν πάντως ταῦτα ὀφείλει — ;
Ἐκ τούτων τοίνυν λέγε μοι, ὦ Θεέ μου καὶ πλάστα,
ποῖον ὑπάρχει κρεῖσσον μοι, ποῖον ἐστὶ συμφέρον,
ποῖον δὲ σοὶ εὐάρεστον καὶ τέλειον ὑπάρχει ;
Ναὶ δή, μὴ κρύψῃς ἀπ' ἐμοῦ, ὦ πανοικτίρμον Λόγε ! —
Ἄκουσον ὅπερ ἐρωτᾷς, γράψον ἅπερ ἀκούεις !
Ἐγὼ Θεὸς προάναρχος, ἐγὼ δεσπότης φύσει,
τῶν οὐρανῶν τε βασιλεὺς καὶ τῶν καταχθονίων
καὶ πάντες μὴ βουλόμενοι ἐμοὶ δοῦλοι τελοῦσι.
Κτίστης τῶν πάντων γὰρ ἐγὼ καὶ κριτὴς καὶ δεσπότης
καὶ νῦν εἰμι καὶ ἔσομαι εἰς αἰῶνας αἰώνων ·
ἀλλ' οὐ βουλόμενον ποτὲ καταναγκάζω,
αὐτεξούσιον θέλω δέ, αὐτοπροαίρετόν γε
τήν τε δουλείαν γίνεσθαι, τὸν φόβον ἐνεργεῖσθαι
καὶ τὴν ἀγάπην δείκνυσθαι παρὰ τῶν ὑπηκόων.
Τοιούτους γὰρ τοὺς δούλους μου, τοιούτους τοὺς μισθίους,
τοιούτους καὶ τοὺς φίλους μου ἐπιποθῶ τοῦ εἶναι,
τοὺς δ' ἄλλους οὔπω ἔγνωκα οὐδ' ὑπ' αὐτῶν ἐγνώσθην ·

B D (E) F H O Z — METRUM XV

17 τὰς : τὰ Z ‖ 21 Σ ἐρώ(τησις) D ‖ 23 vers. bis habet O ‖ κρεῖττον Z ‖ 25 μὴ δὴ ∾ FH ‖ Σ ἀπ(άντησις) D ‖ 30 ἐγὼ : εἰμι OZ ‖ 32 M ! ‖ οὐ+τὸν μὴ OZ ‖ βουλόμενον+τινὰ D ‖ ποτὲ+τινὰ F

24. Rom. 12, 2 — 38. Jn 10, 14

---

1. La traduction suit le texte de O qui est seul à fournir un sens acceptable et un vers juste. Le τὸν μὴ βουλόμενον se retrouve d'ailleurs équivalemment au vers 50 qui reprend la même idée τινα τῶν μὴ θελόντων.

2. Remarquer la trilogie : esclaves (différents ici de serviteurs) — mercenaires — amis. Le schéma est traditionnel (cf. BASILE,

et garder toujours dans la lumière les sens de mon âme,
vibrer secrètement aux paroles divines, instruire
les autres avec douceur et être du même coup instruit moi-
même
— car celui qui parle, c'est pour lui aussi qu'il prononce ce
qu'il dit,
et ce qu'il dit, il doit tout le premier le mettre en pra-
tique —?
Donc, de ces deux choses, dis-moi, toi mon Dieu qui m'as
façonné,
laquelle est pour moi la meilleure, laquelle m'est avan-
tageuse,
laquelle est parfaite et a ta préférence?
Oui, ne le cache pas, ô Verbe plein de compassion!
« Écoute ce que tu demandes, écris ce que tu entends :
C'est moi le Dieu qui devance tout commencement, moi le
Maître par nature,
le roi des cieux et des espaces souterrains,
et tous, qu'ils le veuillent ou non, sont mes serviteurs;
c'est moi en effet le Créateur de tous, le Juge et le Maître ;
maintenant je le suis, et je le serai pour les siècles des
siècles.
Mais jamais je ne contrains personne contre son gré[1] :
c'est du libre arbitre et de la libre décision (de chacun)
que j'attends les actes de service, les sentiments de crainte
et les preuves d'amour (qui me sont dues) par mes sujets.
Tels sont en effet les esclaves, tels sont les mercenaires,
tels sont enfin les amis que je désire[2].
Quant aux autres, je ne les ai pas encore connus, et ils ne
m'ont pas connu

PG 31, 896 B, dans le *Prologue des Grandes Règles*). On trouvera d'autres références (de Clément d'Alexandrie à Dorothée de Gaza) dans I. HAUSHERR, « La prière perpétuelle du chrétien » dans *Hésychasme et prière* (*Orientalia Christiana Analecta*, 176), Rome 1966, p. 262.

διὸ σκληρόν με λέγουσιν, ἀσυμπαθῆ καλοῦσιν,
ἄδικον ὀνομάζουσι τὰ τοῦ ἀδίκου τέκνα.
Οἱ οὖν ἐμὲ ὑβρίζοντες ἐμέ τε λοιδοροῦντες,
ἐμὲ κατονειδίζοντες, σοὶ πῶς ὑποταγῶσιν
ἢ πῶς σε καταδέξονται διδάσκαλον, εἰπέ μοι ;
Οἱ λύκοι δὲ ποιμένα σε πῶς ἄρα λογιοῦνται
ἢ πῶς ἀκολουθήσουσι φωνῇ σου θῆρες ὄντες ;
Ἔξελθε, φύγε καὶ γενοῦ ἐκ μέσου τῶν τοιούτων,
καὶ σεαυτὸν εἰ σώσεις γάρ, ἀρκετόν σοι ὑπάρξει !
Εἰ δὲ τὸν κόσμον σώσειας, σεαυτὸν δ' ἀπολέσεις,
τί σοι τοῦ κόσμου ὄφελος τοῦ διὰ σοῦ σωθέντος ;
Οὐ βούλομαι ποιμαίνειν σε τινὰ τῶν μὴ θελόντων.
Ὅρα, ὅτι ἐφύλαξα τοῦτο κἀγὼ ἐν κόσμῳ ·
τῶν βουλομένων γὰρ ἐγὼ καὶ ποιμὴν καὶ δεσπότης,
τῶν δ' ἄλλων κτίστης μέν εἰμι καὶ Θεὸς κατὰ φύσιν,
οὐ μὴν δὲ πέλω βασιλεύς, οὐκ ἀρχηγὸς εἰς ἅπαν
τῶν μὴ ἀράντων τὸν σταυρὸν κάμοὶ ἀκολουθούντων ·
τοῦ ἐναντίου γάρ εἰσι τέκνα, δοῦλοι καὶ σκεύη.
Βλέπε μυστήρια φρικτά, βλέπε ἀναισθησίαν,
βλέπε καὶ θρήνει δι' αὐτούς, εἰ δυνατόν, καθ' ὥραν !
Ἐκ σκότους γάρ καλούμενοι πρὸς ἀνέσπερον φέγγος,
ἐκ τοῦ θανάτου πρὸς ζωήν, εἰς οὐρανοὺς ἐξ ᾅδου,
ἐκ τῶν προσκαίρων καὶ φθαρτῶν πρὸς αἰώνιον δόξαν,
ὀργίζονται καὶ μαίνονται κατὰ τῶν διδασκάλων
καὶ κατ' αὐτῶν συρράπτουσιν ἐπιβουλὰς παντοίας
καὶ προαιροῦνται τοῦ θανεῖν ἢ σκότους ἀποστῆναι

B D (E) F H O Z — METRUM XV

39 λέγουσι Z ‖ καλοῦσι Z ‖ 45 ἀκολουθήσωσι F ‖ φωνῆς OZ ‖ 47 καὶ σαυτὸν H ‖ σῴζεις F ‖ 53 μέν : γάρ DO ‖ 55 κἀμοὶ : μηδὲ D ‖ ἀκουλουθούντων D ‖ 60 τοῦ > Z ‖ 61 φθαρτῶν : φθαντων O ‖ αἰωνίαν Z ‖ 62 μένονται O ‖ 64 τοῦ : τὸ FH

45. Jn 10, 5 48. Lc 9, 25 55. Matth. 16, 24 59. I Pierre 2, 9 60. I Jn 3, 14 61. I Pierre 5, 10

1. Allusion à *Jn* 6, 60. Syméon développera la même idée plus loin, v. 132 s.

et c'est pourquoi ils m'appellent cruel[1], ils me qualifient d'impitoyable,
ils me taxent d'injustice, eux enfants de l'Injuste.
Ceux donc qui m'outragent, ceux qui me vilipendent,
ceux qui me couvrent de reproches, comment te seront-ils soumis
ou bien accepteront-ils tes leçons, dis-moi?
comment les loups te reconnaîtront-ils pour pasteur
ou suivront-ils ta voix, ces fauves?
Sors, fuis, disparais du milieu d'eux
et, si tu te sauves toi-même, oui, tiens-toi pour content!
Mais viendrais-tu à sauver le monde, si tu te perds,
à quoi te servirait le monde que tu as sauvé?
Je ne veux pas te voir pasteur de personne contre son gré.
Vois (d'ailleurs), c'est ce que j'ai observé moi-même dans le monde :
de ceux qui le désirent, en effet, je suis le Pasteur et le Maître;
les autres, en revanche, je suis bien leur Créateur, leur Dieu par nature,
mais je ne suis pas le Roi, je ne suis pas le Guide, absolument pas,
de ceux qui n'ont pas pris leur croix pour me suivre;
c'est de l'Adversaire, en effet, qu'ils sont les enfants, les esclaves, les instruments.
Vois ces mystères redoutables, vois leur inconscience,
vois et gémis sur eux, si tu le peux, à toute heure.
En effet, alors qu'ils sont appelés de l'obscurité à la lumière sans couchant,
de la mort à la vie, des enfers aux cieux,
du provisoire et du corruptible à la gloire éternelle,
ils se mettent en colère, en fureur contre ceux qui les enseignent,
et ils ourdissent contre eux toute sorte de ruses,
ils aiment mieux mourir que de quitter les ténèbres

καὶ τῶν τοῦ σκότους πράξεων κάμοὶ ἀκολουθῆσαι.
Τούτους, εἰπέ, πῶς ποιμανεῖς, πῶς τούτων προηγήσῃ,
πῶς ὁδηγήσεις, λέγε μοι, πρὸς πῦρ αὐτομολοῦντας,
προστιθεμένους τῷ ἐχθρῷ καὶ σὺν αὐτῷ προθύμως
τὰ ἐναντία τῶν ἐμῶν προσταγμάτων ποιοῦντας ;
Πῶς ποιμανεῖς ὡς πρόβατα, πῶς εἰσάξεις, εἰπέ μοι,
τῶν ἐντολῶν μου πρὸς νομάς, πρὸς ὕδωρ θελημάτων
ἐμῶν ἐξάξεις δὲ αὐτούς, πρὸς νοητά τε ὄρη
θεωριῶν τῶν μυστικῶν, δόξης μου τῆς ἀρρήτου,
δι' ἧς οἱ ταύτην βλέποντες καταφρονοῦσι δόξης
τῆς κάτω καὶ τῶν αἰσθητῶν πάντων ἀμνημονοῦσι
καὶ ὡς σκιὰν καὶ ὡς καπνὸν ταῦτα πάντα ἡγοῦνται ;
Εἰπέ, πῶς τὸν ἀντίδικον συνήγορόν σου κτήσῃ,
πῶς τὸν πολέμιον ἐχθρὸν φίλον σου πείσεις εἶναι ;
Εὐκόλως γὰρ οἱ φίλοι μὲν ἐχθροὶ γίνονται μᾶλλον
μικρὰν εὑρόντες πρόφασιν, οἱ ἐχθροὶ δὲ δυσκόλως
γενέσθαι φίλοι δύνανται κἂν εὐεργετηθῶσι,
κἂν δωρεῶν μετασχῶσιν ὑψηλῶν καὶ μεγάλων ·
ἐγκεκρυμμένον ἔχουσι τὸν ἰὸν ἐν καρδίᾳ,
ὅπερ καιροῦ δραξάμενοι ἐξεμοῦσιν ἀθρόως
καὶ εὐεργέτας τοὺς αὐτῶν ἀνηλεῶς, ἀσπλάγχνως
ἀποκτεῖναι οὐ φρίττουσιν, ὢ μανίας ἐσχάτης !
Οὗτοι τοῦ Κάϊν μιμηταί, οὗτοι τοῦ Λάμεχ χείρους,
οὗτοι Σαοὺλ ὁμότροποι, μιμηταὶ τῶν Ἑβραίων
καὶ τοῦ Ἰούδα ζηλωταί, ἀγχόνης κληρονόμοι !

B D (E) F H O Z — METRUM XV

72 ὄρη νοητά τε ∽ D ‖ 79 Σ περὶ ἐχθρῶν καὶ ἀντιπιπτόντων D ‖ 80 οἱ > Z ‖ δυσκόλην D ‖ 81 γενήσεσθαι O ‖ 82 M ! ‖ κἂν : καὶ D ‖ μετάσχωσι Z ‖ 86 ἀποκτῆναι D ‖ φρίπτουσιν H

65. Rom. 13, 12 70 s. Ps. 22, 1 s. et Jn 10, 9

1. L'adversaire, les ennemis : la pensée de Syméon unit les mauvais moines de S. Mamas et l'Ennemi qu'il voit à l'œuvre derrière eux.

2. Allusion peut-être à l'attentat des moines de S. Mamas, cf. *Vie*, ch. 38.

et les œuvres des ténèbres, afin de me suivre.
Ces hommes, dis-moi, comment seras-tu leur pasteur, leur conducteur,
leur guide, je te le demande, alors que d'eux-mêmes ils se précipitent vers le feu,
pactisent avec l'ennemi et, de concert avec lui, de bon cœur,
font tout ce qui est opposé à mes préceptes?
Comment les feras-tu paître comme des brebis, comment les feras-tu entrer, dis-moi,
dans les pâturages de mes commandements, et sortir vers l'eau
de mes volontés, vers les montagnes spirituelles
des contemplations mystiques et de ma gloire indicible,
celle dont la vue fait mépriser la gloire
d'en bas, oublier toutes les choses sensibles
et les estimer toutes comme de l'ombre et de la fumée?
Dis-moi comment, de l'Adversaire[1], tu te feras un Défenseur,
comment tu persuaderas l'Ennemi qui te combat d'être ton ami?
On voit bien plutôt, facilement, les amis devenir les ennemis
pour quelque mince prétexte, tandis qu'il est difficile que les ennemis
deviennent des amis, quelque bien qu'on leur fasse,
même comblés des (plus) beaux, des (plus) riches cadeaux,
Ils ont le venin dissimulé dans leur cœur
et, quand ils trouvent une occasion, ils le vomissent soudain
et, sans pitié, sans compassion aucune pour leurs propres bienfaiteurs,
ils ne craignent pas de les tuer[2], comble de la folie!
Ces gens sont les imitateurs de Caïn, ces gens sont pires que Lamech,
ces gens sont les émules de Saül, les imitateurs des Hébreux,
et ils rivalisent avec Judas, voués à la même corde.

Τούτων ἡγεῖσθαι εἰ ζητεῖς, βλέπε ποῦ καταντήσεις !
Οὐ γὰρ ἐπιστραφήσονται, ἔνθα ἂν σὺ θελήσῃς,
ἀλλ' ἐν ὁδῷ σε τῇ αὐτῶν ἀναγκάσουσι βαίνειν
καὶ πρῶτον εἰς ἀπώλειαν ἐμπεσεῖν πρὸ ἐκείνων
καὶ κατωτέρω κατελθεῖν εἰς πυθμένα τοῦ ᾅδου
ὡς ἑπακολουθοῦντας σοι ἔχων πάντως κἀκείνους.
Εἰ δὲ μὴ βουληθῇς αὐτοῖς ὅλως ὁμοιωθῆναι,
συναπαχθῆναι τε αὐτῶν ταῖς βουλαῖς μὴ θελήσῃς
μηδὲ ταῖς πράξεσιν αὐτῶν ταῖς κακαῖς κοινωνῆσαι,
στάσιν, μάχην καὶ πόλεμον ἀκατάλλακτον ἕξεις.
'Υφ' ὧν τί σοι γενήσεται, τί δὲ συμβήσεταί σοι,
τί κερδανεῖς τε ; Ἄκουσον, καὶ λέξω σοι συντόμως·
πρὸ πάντων εἶναι δοῦλος μου ὅλως οὐκ ἐξισχύσεις,
ἐμὸν γὰρ δοῦλον μάχεσθαι οὐ βούλομαι παράπαν.
Μῖσος τε κτήσονται πρὸς σὲ ἄσχετον καὶ πρὸς φόνον
ὁρμήσουσι τὸν κατὰ σοῦ φανερῶς καὶ λαθραίως,
καὶ τοῦ ἐκείνων κρίματος σὺ δώσεις τὰς εὐθύνας.
Οὐδὲν γὰρ ὁ σὸς θάνατος ὠφελήσει τοὺς ἄλλους,
καθὼς ὑπῆρξεν ὁ ἐμὸς θάνατος ζωὴ κόσμου,
ἀλλὰ κἀκείνοις αἴτιος τοῦ κρίματος γενήσῃ
καὶ σὺ ἀπαρρησίαστος ἐξέλθεις ἐκ τοῦ βίου.
Κρεῖσσον τοίνυν ποιμαίνεσθαι καὶ μὴ ποιμαίνειν ὅλως
τοιούτους, ἀλλὰ μάλιστα τῶν ἰδίων φροντίζειν
καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν καὶ ἁπάντων ἀνθρώπων
τοῦ ἐπιστρέψαι καὶ ἐλθεῖν εἰς ἐπίγνωσιν πάντας,

B D (E) F H O Z — METRUM XV

94 προελθεῖν O προσελθεῖν Z ‖ 95 ἐπακουλουθοῦντας D ‖ ἐκείνους OZ ‖ 97 συνταχθῆναι Z ‖ 100 γένηται OZ ‖ τί δὲ : ἢ τί OZ ‖ 102 δούλους FHO ‖ 110 σὺ : σοὶ D ‖ 111 κρεῖττον Z ‖ ὅλως : ἄλλως O ‖ 113 ἀνθρώπων ἁπάντων ∾ OZ

94. Prov. 14, 12 98. II Jn 11 103. II Tim. 2, 24 114. 1 Tim. 2, 4

1. « Tu rendras des comptes pour leur condamnation », cf. **14,** 87. J'aurai des comptes à rendre pour ceux dont j'ai été choisi pasteur.

Si c'est eux que tu ambitionnes de guider, vois où tu aboutiras :
ils ne reviendront pas en arrière, là où tu le voudrais;
c'est toi qu'ils contraindront à marcher dans leur voie
et à tomber le premier dans la perdition, avant eux,
à descendre au plus profond du gouffre d'Enfer,
en les emmenant bien sûr avec toi à ta suite!
Que si tu refuses absolument de leur devenir semblable,
si tu ne consens pas à te laisser entraîner dans leurs desseins
et à prendre ta part de leurs mauvaises actions,
tu ne récolteras que révolte, lutte, guerre inexpiable.
Qu'est-ce qu'ils te rapporteront, qu'est-ce que tu trouveras,
qu'y gagneras-tu? Écoute, et je te le dirai en peu de mots.
Pour commencer, tu seras absolument incapable d'être mon serviteur,
car je ne veux pas que mon serviteur se batte, absolument pas.
Ils concevront envers toi une haine irrépressible, ils s'élanceront
pour te tuer, ouvertement et en cachette,
et toi, tu rendras des comptes pour leur condamnation[1] :
car ta mort ne procurera aucun avantage aux autres
tandis que la mienne a été la vie du monde;
toi, au contraire, tu deviendras responsable de leur condamnation,
et pour toi, aucune sécurité au sortir de cette vie!
Mieux vaut donc se laisser conduire et n'avoir absolument pas à conduire
un tel troupeau, mais plutôt se soucier de ses propres (intérêts),
tout en priant pour ces gens et pour tous les hommes
afin qu'ils se convertissent et viennent tous à la connaissance,

Cf. **47,** 65 : que je n'aie à pleurer, Maître, que mes seuls péchés. Ce même thème revient souvent dans les Hymnes : cf. **41,** 174 et la note.

διδάσκειν τε καὶ κατηχεῖν τούτων τοὺς βουλομένους.
Μὴ ἀναγκάζῃς δὲ αὐτοὺς ποιεῖν ἅπερ διδάσκεις,
ἀλλὰ τοὺς λόγους τοὺς ἐμοὺς λέγε καὶ παρακάλει
φυλάττειν τούτους ὡς ζωῆς αἰωνίου προξένους !
Αὐτοὶ δ' οἱ λόγοι στήσονται, ὅταν ἔλθω τοῦ κρίναι,
καὶ τούτων πάντων ἕκαστον κρινοῦσι κατ' ἀξίαν,
καὶ σὺ μενεῖς ἀνεύθυνος, ἀκατάκριτος πάντῃ,
ὅτι οὐκ ἔκρυψας ἐμῶν ἀργύριον λογίων,
ἀλλ' ὅσον εἴληφας αὐτός, κατεβάλου τοῖς πᾶσι.
Τοῦτο ἐμοὶ ἀποδεκτόν, τοῦτο τῶν ἀποστόλων
καὶ μαθητῶν μου γέγονε κατὰ τὰς ἐντολάς μου
ἔργον, κηρύξαι με Θεὸν εἰς τὸν σύμπαντα κόσμον
καὶ τὰ ἐμὰ θελήματα καὶ τὰ προστάγματά μου
διδάξαι καὶ καταλιπεῖν ἐγγράφως τοῖς ἀνθρώποις.
Οὕτως καὶ σὺ ἀγώνισαι ποιῆσαι καὶ διδάξαι,
τοὺς δὲ μὴ θέλοντας ἐμῶν λόγων ὅλως ἀκούειν
λέγε, ὡς εἶπον καὶ ἐγὼ πρὸς τοὺς τότε εἰπόντας
ὅτι · Σκληρὸς ὁ λόγος σου καὶ τίς αὐτοῦ ἀκούειν
δυνήσεται ; καὶ ἔφην γε · Εἰ μὴ θέλετε οὕτως,
ὑπάγετε, ὡς βούλεσθε, ἕκαστος καὶ ποιεῖτε !
τῇ ἐξουσίᾳ τῇ αὐτῶν τὸ πᾶν καὶ προαιρέσει
καταλιπὼν τὸν θάνατον ἢ τὴν ζωὴν ἑλέσθαι.
Οὐδεὶς γὰρ γέγονέ ποτε καλὸς ἀπροαιρέτως,

B D (E) F H O Z — METRUM XV

116 δὲ : τε D ‖ 117 παρακάλλει Z ‖ 123 κατεβάλλου D ‖ 129 οὕτω Z ‖ σὺ : σοὶ D ‖ 133 εἰ μὴ : εἰμὶ D ‖ 134 βούλεσθε : βούλουσθαι D θέλεσθε O θέλετε Z

118. Jn 5, 24 — 119. Jn 12, 48 — 122. Matth. 25, 18 ; Ps. 11, 6 — 129. Act. 1, 1 — 132. Jn 6, 60 — 133. Jn 6, 67 — 136. Deut. 30, 19

1. Cf. **31,** 158-160 : Mais la parole du Maître que nous aurons négligée se dressera alors en présence de chacun d'entre nous et condamnera quiconque ne l'a pas observée.

tout en instruisant et en prêchant parmi eux ceux qui le désirent.
Mais ne les contrains pas à faire ce que tu leur enseignes : répète-leur simplement mes paroles et exhorte-les à les observer, comme ce qui leur procure la vie éternelle, et ces paroles mêmes se dresseront[1], lorsque je viendrai pour le Jugement,
et elles les jugeront tous, un à un, selon leur mérite,
tandis que toi, tu resteras sans responsabilité, sans aucune espèce de condamnation,
puisque tu n'auras pas dissimulé l'argent de mes paroles[2] mais que, tout ce que tu as reçu, tu l'as prodigué à tous.
C'est cela qui me plaît, c'est cela l'œuvre de mes apôtres et de mes disciples, qui ont agi selon mes commandements : me proclamer Dieu dans le monde entier, enseigner mes volontés et mes ordres et les laisser par écrit aux hommes.
Lutte donc, toi aussi, pour agir et enseigner comme eux.
Quant à ceux qui ne veulent rien entendre de mes paroles, parle-leur[3] comme j'ai parlé moi-même à ceux qui alors disaient :
« Ta parole est dure et qui pourra l'écouter? » et je leur répliquai : « Si vous n'en voulez pas, allez-vous-en, agissez chacun à votre guise! »
Laisse-leur[4] toute latitude, laisse-leur la faculté de choisir la mort ou la vie.
Car nul jamais, s'il ne l'a choisi, n'est devenu bon;

2. L'expression du *Ps.* 11, 7 : « Les Paroles du Seigneur sont... de l'argent... » contamine ici la Parabole des talents si chère à Syméon (cf. *Cat.* **34**) et que son disciple Nicétas lui appliquera, le louant « de n'avoir pas dissimulé, en serviteur ingrat, le talent que Dieu lui avait donné ». *Préf.* l. 135 (*SC* 156, p. 119).

3. λέγειν τινὰ (= τινί). Exemple de langue parlée, cf. **12,** 102.

4. καταλιπών : Laisse-leur toute latitude. Ce participe pourrait aussi se rapporter au sujet du verbe εἶπον (v. 131)) : et je leur ai laissé toute latitude...

οὐδὲ πιστὸς ὁ ἄπιστος καὶ μὴ θέλων ὑπάρξει,
οὐδὲ φιλόθεός ποτε ὁ φιλόκοσμος ἔσται,
οὐκ ἀβουλήτως ὁ σκαιὸς μεταστρέψει τὴν γνώμην
τὴν ἑαυτοῦ καὶ ἀγαθὸς γενήσεται εἰς ἅπαν,
— οὐδεὶς γὰρ γέγονε κακὸς φύσει, ἀλλὰ προθέσει —·
οὕτω καὶ πάλιν ἐκ κακοῦ καὶ πονηροῦ προθέσει
καὶ γνώμῃ καλὸς καὶ ἀγαθός, εἰ θέλει,
γενήσεται, μὴ θέλων δὲ οὐδαμῶς τοῦτο ἔσται.
Οὐδεὶς μὴ θέλων ἀρετὴν κατώρθωσεν ἐν κόσμῳ,
οὐδεὶς μὴ θέλων σῴζεται · πλέον τούτου μὴ ζήτει,
σπούδασον σῶσαι δὲ σαυτὸν καὶ τοὺς ἀκούοντάς σου,
εἰ ἄρα εὕροις ἐπὶ γῆς ἄνθρωπον τοῦ ἀκούειν
ἔχοντα ὦτα καὶ τῶν σῶν ἐπακούοντα λόγων ! —
Οὕτως ποιήσω, δέσποτα, καθὼς προσέταξάς μοι,
ἀλλὰ τὴν σὴν βοήθειαν, ἀλλὰ τὴν σήν μοι χάριν
τῷ ἀναξίῳ δώρησαι δούλῳ σου, ὦ Θεέ μου,
ἵνα ἀεὶ δοξάζω σε καὶ ἀνυμνῶ σὸν κράτος
ἀκαταπαύστοις ἐν φωναῖς εἰς αἰῶνας αἰώνων,
ἀμήν.

B D (E) F H O Z — METRUM XV

140 μετατρέψει D ‖ 143 > OZ ‖ 144 M! ‖ γνώμῃ+εὐσπλαγχνος D ‖ καλὸς+καλὸς O ‖ ἀγαθὸς+γενήσεται Z ‖ 145 γενήσεται > Z ‖ μὴ : οὐ FH ‖ 147 τοῦτο Z ‖ 148-155 > B ‖ 148 σπούδασαι OZ ‖ δὲ σαυτὸν : σεαυτὸν D ‖ 151 συνέταξας D ‖ 152 ἀλλὰ τὴν σήν μοι χάριν : ἐμοὶ τῷ ἀναξίῳ Z > O ‖ 153 τῷ ἀναξίῳ > Z ‖ σου : σῷ+ὦ κύριε καὶ Z ‖ 155 ἀμήν > DFH ‖ Σ στίχοι ρνε′ DH

l'infidèle ne se trouvera pas, sans le vouloir, fidèle;
jamais l'ami du monde ne sera ami de Dieu;
ce n'est pas involontairement que le pervers changera de mentalité
et qu'il deviendra parfaitement bon :
car personne n'est devenu mauvais par nature, mais par intention,
et de même en revanche, de mauvais et méchant qu'il était par son intention
et sa mentalité, il deviendra, s'il le veut, bon et honnête;
mais, s'il ne le veut pas, rien de tel ne se produira.
Personne, sans le vouloir, n'a brillé par la vertu dans le monde,
personne, sans le vouloir, n'est sauvé : et ne va pas chercher plus loin,
mais efforce-toi de te sauver, toi et ceux qui t'écoutent,
au cas où tu trouverais sur la terre un homme qui ait
des oreilles pour entendre, et qui écoute tes paroles! »
— Oui, je ferai, Maître, comme tu me l'as ordonné.
Mais à moi ton secours, à moi ta grâce!
accorde ce don à ton serviteur indigne, ô mon Dieu,
pour que sans cesse je te glorifie et célèbre ta puissance,
en des cantiques sans fin pour les siècles des siècles. Amen.

149-150. Matth. 11, 15

XLIV

Τί ἐστι τὸ κατ' εἰκόνα καὶ πῶς εἰκότως νοεῖται ὡς τοῦ πρωτοτύπου εἰκὼν ὁ ἄνθρωπος · καὶ ὅτι ὁ τοὺς ἐχθροὺς ὡς εὐεργέτας φιλῶν μιμητής ἐστι τοῦ θεοῦ, Πνεύματος δὲ Ἁγίου ἐντεῦθεν μέτοχος γεγονὼς θέσει θεὸς καὶ χάριτι γίνεται, μόνοις ἐκείνοις γνωριζόμενος τοῖς ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἐνεργουμένοις

Δόξα, αἶνος, ὕμνος, χάρις
τῷ τὴν κτίσιν ἐξ οὐκ ὄντων
εἰς τὸ εἶναι λόγῳ μόνῳ
καὶ θελήματι οἰκείῳ
ἅπασαν παραγαγόντι
Θεῷ πάντων, ἐν Τριάδι
ὑποστάσεων, μιᾷ τε
προσκυνουμένῳ οὐσίᾳ !
Εἷς γὰρ Θεός, Τριὰς Ἁγία,
ὑπερούσιος οὐσία,
μία ἐν τρισὶ προσώποις,
ὑποστάσεσι τρισί τε

D (E) F H O R Z — METRUM VIII

Tit. Τί ἐστι — ἄνθρωπος καὶ > R ‖ πρωτοτύπου : Θεοῦ OZ ‖ τοῦ αὐτοῦ [ὅτι ὁ τοὺς+R ‖ Πνεύματος — ἐνεργουμένοις > R ‖ γεγονὼς μέτοχος ∾ FH ‖ θεὸς θέσει ∾ FH ‖ 1 ὕμνος, αἶνος ∾ FH ‖ 8 οὐσίᾳ προσκυνουμένῳ ∾ D ‖ 9-10 > O ‖ 9 γὰρ > D

---

1. Syméon chante la gloire de la Trinité qui a imprimé en notre âme avec ses puissances, une image d'Elle-même (1-95). S'il se purifie

XLIV

Que signifie d'être créé à l'image (de Dieu) ; en quel sens il est juste de considérer l'homme comme image du Modèle ; que celui qui aime ses ennemis comme des bienfaiteurs est l'imitateur de Dieu et, entré par là en participation de l'Esprit-Saint, devient dieu par adoption et par grâce, mais n'est discerné que par ceux en qui agit le Saint-Esprit[1].

Gloire, louange, hymne, (action de) grâces
à celui par qui, du néant, la création
tout entière, grâce à sa seule parole
et à sa propre volonté,
est venue à l'existence,
— au Dieu de l'Univers, adoré
dans la trinité des Hypostases
et l'unité d'essence.
Car unique est Dieu, Trinité sainte,
Essence suressentielle
unique en trois Personnes
et en trois Hypostases

et reçoit l'Esprit de Dieu, l'homme devient capable de voir en lui-même cette image, il est l'imitateur du Maître, il est transformé par Dieu (96-165). Hélas ! ce mystère est inconnu à tous (166-203), surtout aux incrédules, qui en réalité sont des morts (204-245). Seul est vivant, seul est chrétien celui qui a été recréé à la ressemblance du Christ, grâce à la communion, grâce à l'Incarnation (246-346), par quoi nous viennent tous les dons de l'Esprit et la divinisation même dès ici-bas (347-434). Cet Hymne porte le n° 34 dans Z, le n° 31 dans Pontanus, *PG* 120, 578 B - 582 A.

ἀχωρίστοις καὶ ἀτμήτοις,
μία φύσις, μία δόξα,
μία δύναμις ὑπάρχει,
θέλημά τε ἓν ὡσαύτως.
Αὕτη μόνη κτίστις πάντων,
αὕτη ἐκ πηλοῦ με ὅλον
πλάσασα, ψυχήν τε δοῦσα
ἔθηκεν ἐπὶ τῆς γῆς με,
δέδωκε τὸ φῶς τε βλέπειν
καὶ ὁρᾶν ἐν τούτῳ πάντα
τόνδε τὸν αἰσθητὸν κόσμον,
ἥλιον, σελήνην λέγω,
τοὺς ἀστέρας οὐρανόν τε,
γῆν καὶ θάλασσαν καὶ πάντα
τὰ ἐν μέσῳ τούτων ὄντα.
Δέδωκε, καὶ νοῦν καὶ λόγον·
ἀλλὰ πρόσεχε τῷ λόγῳ!
Κατ' εἰκόνα οὖν τοῦ Λόγου
δέδοται ἡμῖν ὁ λόγος·
λογικοὶ γὰρ ἐκ τοῦ Λόγου
τοῦ ἀνάρχου, τοῦ ἀκτίστου,
τοῦ ἀλήπτου, τοῦ Θεοῦ μου.
Ὄντως κατ' εἰκόνα ἔστιν
ἡ ψυχὴ παντὸς ἀνθρώπου
λογικὴ εἰκὼν τοῦ Λόγου.
— Πῶς, εἰπέ μοι, δίδαξόν με;
— Ἄκουσον αὐτοῦ τοῦ Λόγου·
ὁ Θεὸς Λόγος ἐκ Θεοῦ,

D (E) F H O R Z — METRUM VIII

17 κτίστης FH ‖ 18 με ἐκ πηλοῦ ∾ RZ ‖ ἐκπηλοῦμαι H ‖ 22 πάντα : τόνδε RZ ‖ 23 M ! ‖ τόνδε > RZ ‖ τὸν αἰσθητὸν τόνδε ∾ D ‖ κόσμον+τοῦτον R ‖ 33 τοῦ² : καὶ ORZ ‖ 34 τοῦ² : καὶ ORZ ‖ τοῦ Θεοῦ μου : καὶ ἀΰλου F (manu E) ‖ τ' ἀγαθοῦ τε καὶ ἀλήπτου D ‖ 40 M ! ‖ ἐκ Θεοῦ ὁ Θεὸς λόγος ∾ D ‖ ἐκ Θεοῦ λόγος ∾ RZ

indivisibles et inséparables,
nature unique, gloire unique,
puissance unique
en même temps que volonté unique.
C'est Elle seule la Créatrice de tout,
Elle qui, de la boue, m'a modelé
tout entier, doué d'une âme
et placé sur la terre;
Elle qui m'a donné de voir la lumière
et, en celle-ci, de distinguer
l'ensemble de ce monde sensible
— je veux dire le soleil, la lune,
les étoiles et le ciel,
la terre, la mer et tout
ce qu'ils embrassent —;
Elle encore, qui m'a donné intelligence et verbe;
mais fais attention à ce que je dis!
C'est donc à l'image du Verbe
que nous a été donné le verbe[1],
car si nous sommes doués de raison, cela vient du Verbe
sans commencement, du Verbe incréé,
du Verbe insaisissable, de mon Dieu!
Réellement, à son image,
l'âme de chacun des hommes
est une image rationnelle du Verbe.
— Comment cela? dis-moi, instruis-moi!
— Écoute sa Parole :
le Verbe, Dieu de Dieu,

18. Job 10, 9 30. Gen. 1, 26

1. Créé à l'image de Dieu, l'homme manifeste dans son esprit sa conformité avec son Créateur, cf. **21**, 34 s. On ne peut s'empêcher de remarquer combien sont proches les perspectives et même les préoccupations théologiques de ces deux Hymnes **21** et **44**.

συναΐδιός τε ἔστι
τῷ Πατρὶ καὶ τῷ Πνεύματι.
Οὕτως οὖν καὶ ἡ ψυχή μου
κατ' εἰκόνα τούτου ἔστι,
νοῦν γὰρ ἔχουσα καὶ λόγον
φέρει ταῦτα κατ' οὐσίαν
ἄτμητα ἀσύγχυτά τε,
ὁμοούσια ὡσαύτως,
ἓν τὰ τρία ἡνωμένως,
ἀλλὰ καὶ διηρημένως.
Πάντοτε καὶ ἥνωνταί γε
καὶ εἰσὶ μεμερισμένα·
ἥνωνται γὰρ ἀσυγχύτως
καὶ μερίζονται ἀτμήτως.
Ἓν ἐκ τούτων εἰ καθέλῃς,
συγκαθεῖλες πάντως πάντα·
ψυχὴ γὰρ ἄνους, ἄλογος,
ἴσον ἔσται τῶν ἀλόγων·
ἄνευ δὲ ψυχῆς οὐκ ἔστι
νοῦν ἢ λόγον ὑφεστάναι.
Οὕτως οὖν ἐκ τῆς εἰκόνος
τὸ πρωτότυπον ἐννόει!
Ἄνευ Πνεύματος οὐκ ἔσται
οὐ Πατήρ, οὐ Λόγος τούτου·
πνεῦμα ὁ Πατὴρ δὲ ἔστι,
καὶ Υἱὸς ὁ τούτου, πνεῦμα
— εἰ καὶ σάρκα ἐνεδύθη —,
καὶ θεὸς τὸ Πνεῦμα πάλιν·

D (E) F H O R Z — METRUM VIII

41-42 τῷ Πατρὶ καὶ Πνεύματί τε συναΐδιος ὑπάρχει D ‖ 42 M ! ‖ 44 ἔστιν D ‖ 53-54 > ORZ ‖ 55 καθέλοις Z ‖ 57 M ! ‖ ἄλογος ψυχὴ γάρ, ἄνους ∽ D ‖ 59 ἔστιν D ‖ 66 ὁ : τὸ R

est coéternel
au Père et à l'Esprit
et de même, par suite, mon âme
est à son image à Lui.
Elle a donc intelligence et raison,
celles-ci font partie de son essence,
sans séparation ni confusion,
elles sont aussi consubstantielles,
les trois (ne faisant qu')un de façon unifiée,
mais aussi bien de façon distincte.
Toujours, en effet, elles sont unies
et en même temps restent séparées,
car elles sont unies sans confusion
et séparées sans division.
Supprime l'une des trois,
et du coup tu as supprimé les trois :
car l'âme sans intelligence, sans raison,
sera l'égale des animaux sans raison;
mais sans l'âme, impossible
que subsistent intelligence ou raison.
Voilà donc comment, à partir de l'image,
tu dois concevoir le modèle.
Sans l'Esprit, il n'y aura plus
ni le Père, ni son Verbe[1] :
mais le Père est esprit,
et esprit son Fils,
— même s'il a revêtu la chair —,
et de son côté l'Esprit est Dieu[2],

65. Jn 4, 24

1. Unité indissoluble de la Trinité. Comparer avec l'affirmation de **12,** 21 : « Si Dieu était privé... soit du Fils, soit de l'Esprit, il ne serait plus Père, il ne serait même plus Vivant, séparé de l'Esprit ».

2. Les trois Personnes sont Esprit, cf. **31,** 16 s. et la note au v. 21.

ἓν γὰρ φύσει καὶ οὐσίᾳ
τὰ ἀμφότερα τελοῦσιν,
ὥσπερ νοῦς, ψυχὴ καὶ λόγος.
Ἀλλ' ὁ μὲν Πατὴρ τὸν Λόγον
ἀπεγέννησεν ἀρρήτως.
Ὥσπερ νοῦς ἐκ τῆς ψυχῆς μου,
μᾶλλον δὲ ἐν τῇ ψυχῇ μου,
οὕτως ἐκ Πατρὸς τὸ Πνεῦμα,
μᾶλλον δ' ἐν Πατρὶ καὶ μένει
καὶ προέρχεται ἀφράστως.
41 ἐμαυτῷ OZ ‖ 43 φροντίδων BH ‖ 49 M ! ‖ εἰς [ἀεὶ + D ‖ τοὺς > D ‖ Σ στίχοι μθ′ DH

je me suis relâché, Maître, pour avoir compté sur moi-même ;
je me suis laissé entraîner par le souci des choses sensibles
et j'ai succombé, malheureux, à la préoccupation des choses de la vie[1].
Comme le fer une fois refroidi, je suis devenu noir
et, à force de traîner par terre, j'ai contracté la rouille.
Voilà pourquoi je crie vers toi, pour être à nouveau purifié,
je t'en prie, Ami de l'homme, et pour être ramené
à ma beauté première, et jouir de ta lumière
maintenant et toujours et dans tous les siècles. Amen.

1. La préoccupation des choses de la vie : cf. v. 3 et **41**, 87 s. Nous la retrouvons en **48**, 30 : je songe aux choses de la terre, ce sont elles qui me préoccupent.

XLVII

Περὶ νοητοῦ παραδείσου τηλαυγὴς θεωρία, καὶ περὶ τοῦ ἐν αὐτῷ ξύλου ζωῆς

Εὐλογητὸς εἶ, κύριε, εὐλογητὸς εἶ, μόνε,
εὐλογητὸς εἶ, εὔσπλαγχνε, ὑπερευλογημένε,
ὁ δοὺς ἐν τῇ καρδίᾳ μου τὸ φῶς τῶν ἐντολῶν σου
καὶ ἐμφυτεύσας ἐν ἐμοὶ τὸ τῆς ζωῆς σου ξύλον
καὶ δείξας με παράδεισον ἄλλον ἐν ὁρωμένοις,
ἐν αἰσθητοῖς μὲν νοητόν, νοητὸν δ' ἐν αἰσθήσει.
Συνήνωσας γὰρ τῇ ψυχῇ ἄλλο Πνεῦμα σου Θεῖον,
ὅπερ καὶ ἐνεσκήνωσας ἐν τοῖς ἐμοῖς ἐγκάτοις·
τοῦτο τὸ ξύλον τῆς ζωῆς ὄντως ὑπάρχει μόνον,
τοῦτο, ἐν ἥπερ φυτευθῇ γῇ εἴτ' οὖν ψυχῇ ἀνθρώπου
καὶ ἐν καρδίᾳ ῥιζωθῇ, παράδεισον δεικνύει
ταύτην εὐθὺς λαμπρότατον, πᾶσι κεκοσμημένον
φυτοῖς ὡραίοις δένδροις τε καὶ καρποῖς διαφόροις,
πεποικιλμένον ἄνθεσι καὶ μυριπνόοις κρίνοις.

D (E) F H O R Z — METRUM XV

Tit. τοῦ αὐτοῦ [περὶ+R ‖ αὐτῷ : αὐτοῦ Z ‖ τῆς [ζωῆς+Z ‖ 2 εὔσπλαχνε F ‖ 3 τὸ : τῷ FH ‖ 5 καὶ δείξας : ἔδειξας ORZ ‖ με : μοι D ‖ 6 νοερὸν δ' D ‖ 7 γὰρ+μου FH ‖ 12 ταύτης Z ‖ κεκοσμημένος F

3. Prov. 6, 23 4. Gen. 2, 9 8. Ps. 50, 12

---

1. Syméon rend grâce pour tous les dons de l'Esprit (1-29), prie pour n'en être jamais privé (30-57), même s'il faut pour lui renoncer à tout le créé (58-85). Cet Hymne porte le nº 52 dans Z, le nº 34 dans Pontanus, *PG* 120, 585 A - 586 C.

2. Souvenir possible de l'Office byzantin. Cf. les stiques qui suivent l'ὕμνος ἑωθινός de Laudes : εὐλογητὸς εἶ, Κύριε, ... εὐλογητὸς εἶ, δέσποτα, ... εὐλογητὸς εἶ, ἅγιε ...

3. Un autre paradis, cf. **20,** 211 : Tu as fait de moi... le nouveau paradis qui possède en son milieu l'arbre de vie. Ce texte en tout cas n'a rien à voir avec les longues considérations de Syméon sur le paradis dans les *Éthiques* II, ch. 5 et 7 (*SC* 122, p. 354-374), ni avec le Traité de Nicétas sur le paradis.

4. Cf. **22,** 9. Le texte des mss est certain. Pourtant l'allusion au *Ps.* 50 suggérerait peut-être de lire ἐνεκαίνισας au lieu de ἐνεσκήνωσας.

5. ταύτης. Syméon ne précise pas. Le démonstratif renvoie à la fois à γῆ, ψυχή, καρδία. Mais le sens est clair.

XLVII

Sur le paradis spirituel, interprétation pénétrante ; sur l'arbre de vie qu'il contient[1].

Tu es béni, Seigneur, tu es béni, Unique,
tu es béni, Miséricordieux, toi le plus que béni[2]
qui as mis en mon cœur la lumière de tes commandements
et as planté en moi l'arbre de ta vie,
qui as fait de moi un autre paradis[3] au milieu des êtres visibles,
spirituel parmi les êtres sensibles, spirituel de façon consciente.
Car à mon âme tu as uni un autre esprit, ton Esprit divin,
celui que tu as fait habiter dans mes entrailles[4].
C'est lui (qui est) véritablement l'unique arbre de vie,
lui qui, en quelque terre qu'on le plante — c'est-à-dire en l'âme d'un homme —,
en quelque cœur qu'il s'enracine, fait de lui[5] aussitôt
un paradis resplendissant, orné de toute espèce
de plantes belles, d'arbres, de fruits variés,
diapré de mille fleurs, de lis embaumés :

Ταῦτα δ' εἰσὶ ταπείνωσις καὶ χαρὰ καὶ εἰρήνη,
πραότης καὶ συμπάθεια, πένθος, ὄμβροι δακρύων
καὶ ξένη τέρψις ἐν αὐτοῖς, αἴγλη τῆς χάριτός σου
ἅπασιν ἐπιλάμπουσα τοῖς ἐν τῷ παραδείσῳ.
Σὺ εἶ κρατὴρ προχέων μοι ζωῆς τὰ νάματά σου,
καὶ λόγους θείας γνώσεως ἀφθόνως ἐμπαρέχεις.
Ἐπὰν δὲ σὺ μὴ βουληθῇς, ἀλλ' ἀντανέλῃς ταῦτα,
ἄνους ἐγώ, ἀναίσθητος ὥσπερ λίθος τυγχάνω.
Ἡ σάλπιγξ ἄνευ πνεύματος οὐδέποτε ἠχήσει·
οὕτω κἀγώ σου ἄνευθεν ὡς ἄψυχος ὑπάρχω.
Δίχα ψυχῆς ἀδύνατον ἐνεργεῖν τι τὸ σῶμα·
οὕτως οὐ δύναται ψυχὴ δίχα τοῦ Πνεύματός σου
κινεῖσθαι καὶ τὰς ἐντολάς τὰς σάς, σῶτερ, φυλάττειν,
οὐδὲ ὁρᾶν σε δύναται οὐδὲ παρίστασθαί σοι,
οὐδὲ ὑμνεῖν τὴν δόξαν σου συνετῶς, ὦ Θεέ μου.
Διὰ τοῦτο οὖν σοι βοῶ καὶ διὰ τοῦτο κράζω·
Ὁ ἄνω ὢν σὺν τῷ Πατρὶ καὶ μεθ' ἡμῶν τυγχάνων
οὐχ, ὡς τινες λογίζονται, τῇ ἐνεργείᾳ μόνῃ,
οὐδ' ὡς νομίζουσι πολλοί, τῷ θελήματι μόνῳ,

D (E) F H O R Z — METRUM XV

18 ἐπιλάμπουσα : σῶτερ, λάμπουσα D ‖ 22 τυχάνω F ‖ 23 ἡ > F ‖ ἠχήσα FH ‖ 24 οὕτως D ‖ σου : σὺ D ‖ 27 σῶτερ : Χριστέ D ‖ 28 σε : σοι O ‖ 30 βοῶ σοι οὖν ∾ D ‖ 33 Σ Οἱ Ἕλληνες καὶ μερικοὶ αἱρετικοὶ φρονοῦντες σωματοειδῆ τὸν Θεὸν ἔλεγαν, ὅτι κάθηται εἰς τοὺς οὐρανούς μόνον, καὶ ἐκεῖθεν μὲ μόνην τὴν προσαγήν του, καὶ μὲ μόνον τὸ θέλημά του κυβερνᾶ ὅλον τὸν κόσμον χωρὶς νὰ εἶναι παρὼν ὁ ἴδιος, καθὼς κάνει καὶ ἕνας βασιλεὺς ἐπίγειος. τοῦτο λέγω ἐστάθη φλυαρία καὶ ἑλληνικὴ, καὶ αἱρετικὴ. ἡ δὲ Ἁγία μας ἐκκλησία δογματίζει, πῶς ὁ ἀληθινὸς Θεὸς εἶναι μία οὐσία ἄϋλος, ἀσχημάτιστος, ἀπεριόριστος, ἀπερίγραπτος, ἐν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν εὑρισκομένη, καὶ τοῦτο εἶναι ποῦ λέγει ἐδῶ ὁ Ἅγιος, ὅτι ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὡς Θεὸς ὁποῦ εἶναι ἀπερίγραπτος, μὲ τὸν Θεὸν καὶ Πατέρα εἶναι πάντοτε, καὶ μὲ ἡμᾶς τοὺς ἀνθρώπους, ὄχι μὲ μόνην τὴν ἐνέργειαν, καὶ δύναμιν, ἀλλὰ καὶ οὐσιωδῶς, ἤγουν μὲ τὴν θείαν οὐσίαν του. ἡμεῖς ὅμως ἀπὸ τὴν θεϊκὴν του ἐνέργειαν, καὶ δύναμιν μετέχομεν, ἀλλ' ὄχι ποτὲ καὶ ἀπὸ τὴν θείαν οὐσίαν καὶ φύσιν. ἡ γὰρ φύσις ἀμέθεκτος Z

l'humilité, la joie, la paix,
la douceur et la compassion, l'affliction, la pluie des larmes
et l'étrange jouissance qu'on y goûte, la splendeur de ta grâce
qui éclaire tous ceux qui sont dans le paradis.
C'est toi la coupe qui me verses les flots de la vie ;
tu me procures sans compter les paroles de la connaissance divine ;
mais quand tu les refuses, quand tu les retires,
me voilà stupide, sans plus de sentiment qu'une pierre.
Jamais sans le souffle (du musicien) ne sonnera la trompette[1],
et de même sans toi je demeure comme inanimé.
Impossible au corps de faire quoi que ce soit sans l'âme[2],
pas davantage l'âme ne peut, sans ton Esprit,
se mouvoir ni observer, Sauveur, tes commandements ;
elle ne peut te voir ni se tenir auprès de toi
ni chanter ta gloire intelligemment, ô mon Dieu.
Voilà donc pourquoi je te crie, pourquoi vers toi je clame :
Toi qui es là-haut[3] avec le Père et qui te trouves avec nous
— non comme d'aucuns le croient par ta seule opération,
ni comme beaucoup le pensent[4] par ton seul vouloir,

15. Gal. 5, 22 — 20. I Cor. 12, 8 — 21. Ps. 50, 13

1. Syméon se compare de même à un instrument de musique qui joue sous le souffle de Dieu au début de la *Catéchèse* **9** : « C'est quand l'air emplit ses tuyaux que l'orgue déploie ses sonorités... ; comme au son d'une trompette du Maître... écoutez » (l. 1-25).

2. Le sens primitif de ψυχή (souffle) est encore sous-jacent. Double comparaison : le souffle est à l'instrument ce que l'âme est au corps et l'Esprit est à l'âme ce que l'âme est au corps.

3. Après s'être adressé à l'Esprit-Saint (19), Syméon semble ici s'adresser plutôt au Fils (σῶτερ : 39, 44, 47 - Λόγε 48) bien qu'il intercale au v. 45 la mention de la Trinité.

4. Scholie : Les païens et les hérétiques partiels (peut-être à rapprocher des hérésies partielles, *Cat.* **29**, l. 145-149), concevant

οὐδὲ δυνάμει μόνῃ σου, ἀλλὰ καὶ τῇ οὐσίᾳ,
εἴπερ οὐσίαν ἐπὶ σοὶ τολμητέον τοῦ λέγειν
ἢ ἐννοεῖν, ἀθάνατε, ὑπερούσιε, μόνε !
Εἰ γὰρ ὑπάρχεις ἀληθῶς ἀνερμήνευτος ὅλως,
ἀόρατος, ἀπρόσιτος, ἀκατανόητός τε,
ἀναφής, ἀψηλάφητος, ἄληπτος ὅλως, σῶτερ,
πῶς σε προσονομάσωμεν, πῶς δέ σε καὶ οὐσίαν
ποταπήν τε καὶ ὁποίαν τολμήσωμεν εἰπεῖν σε ;
Ὄντως οὐδὲν τῶν πάντων γὰρ ὑπάρχεις, ὦ Θεέ μου,
ἀλλὰ τὰ πάντα ἔργα σὰ ἐξ οὐκ ὄντων παρήχθη ·
μόνος δ' ὑπάρχεις ἄκτιστος, μόνος ἄναρχος, σῶτερ,
Τριὰς Ἁγία καὶ σεπτή, ὁ Θεὸς τῶν ἁπάντων,
καὶ φῶς παρέδειξας ἡμῖν δόξης σου τῆς ἀχράντου.
Αὐτὸ καὶ νῦν παράσχου μοι ἀδιάστατον, σῶτερ,
δός μοι ἀεί σε δι' αὐτοῦ ἐνοπτρίζεσθαι, Λόγε,
καὶ κάλλος τὸ ἀμήχανον καλῶς κατανοεῖν σου,
ὅπερ ἀκατανόητον παντάπασιν ὑπάρχον
ὑπερεκπλήττει μου τὸν νοῦν, ἐξιστᾷ μου τὰς φρένας
καὶ πῦρ ἐν τῇ καρδίᾳ μου σῆς ἀγάπης ἀνάπτει !
Τοῦτο δ' ἀποτελούμενον εἰς φλόγα θείου πόθου
τρανοτέραν δεικνύει μοι τὴν δόξαν σου, Θεέ μου.
Ἣν προσκυνῶν αἰτοῦμαι σε, Υἱὲ Θεοῦ, παράσχου

D (E) F H O R Z — METRUM XV

39 ὅλος Z ‖ 41 ὁ οἷαν τε καὶ ποταπὴν ∞ D ‖ 42 ὑπῆρχες D ‖ 43 παρήχθη : προήχθη OZ προήλθη R ‖ 49 καλῶς : τρανῶς FH ‖ 51 Σ ὅρα τίνες τῶν θείων ὕμνων οἱ ἔρωτες τοῦ πατρός D ‖ 54 μοι : μου OZ

Dieu sous forme corporelle, disaient qu'il réside seulement dans les cieux et que, de là, c'est seulement par son action et sa volonté qu'il gouverne le monde entier, sans y être lui-même présent comme fait un roi terrestre. Telle fut donc, je le dis, la sottise aussi bien des Grecs que des hérétiques. Mais notre sainte Église enseigne comment le Dieu véritable est une essence immatérielle, sans figure, sans contour, sans limite, présente dans l'Univers et au-dessus de tout l'Univers : et c'est ce que dit ici le Saint : que le Fils unique de Dieu étant, en tant que Dieu, sans limites, est toujours avec Dieu

ni par ta seule puissance, mais aussi par ton essence,
s'il faut oser parler, à ton propos, s'il faut oser penser
essence, ô Immortel, Superessentiel[1], Unique!
Oui, si véritablement tu es absolument inexprimable,
invisible, inaccessible et incompréhensible,
intangible, impalpable, insaisissable absolument, Sauveur,
comment te donnerons-nous un nom, comment celui même d'essence
— quelle essence et de quelle sorte? — oserons-nous te l'appliquer?
puisque véritablement tu n'es aucun des êtres, ô mon Dieu,
puisque tous sont tes œuvres, produites par toi du néant
et que seul tu es incréé, seul sans principe, Sauveur,
Trinité Sainte, vénérée, Dieu de tout ce qui existe! —
Tu nous as montré la lumière de ta gloire immaculée,
donne-la-moi, oui, maintenant encore, qu'elle ne me quitte plus!
donne-moi de toujours te contempler en elle, ô Verbe,
de saisir telle qu'elle est ta beauté inaccessible
qui, demeurant absolument insaisissable,
frappe et foudroie mon intelligence, transporte mon esprit[2]
et allume en mon cœur le feu de ton amour!
C'est cette lumière qui, se déployant en flamme du désir divin,
me fait voir plus distinctement ta gloire, ô mon Dieu;
cette gloire, en t'adorant je t'en supplie, Fils de Dieu, accorde-moi,

le Père et avec nous les hommes, non point par sa seule opération et puissance, mais également en essence, c'est-à-dire par son essence divine. Cependant nous avons bien part à son opération et à sa puissance divine, mais jamais à l'essence et nature divine, car la nature est imparticipable.

1. Dieu est une essence qui dépasse toute essence, cf. **24,** 12 ; **31,** 11, et l'article de Mgr B. Krivochéine cité en **44,** 154, note.

2. Scholie : Vois quels sont « les Amours des Hymnes divins » de (notre) père.

καὶ νῦν καὶ ἐν τῷ μέλλοντι ἀδιαδόχως ἔξειν
καὶ δι' αὐτῆς σε τὸν Θεὸν καθορᾶν αἰωνίως !
Μὴ δός μοι δόξαν, δέσποτα, ἐν κόσμῳ τὴν ματαίαν,
μὴ πλοῦτον ἀπολλύμενον, μὴ τάλαντα χρυσίου,
μὴ θρόνου ὕψος, μὴ ἀρχὴν τῶνδε τῶν φθειρομένων !
Τοῖς ταπεινοῖς με σύζευξον, τοῖς πτωχοῖς τε καὶ πράοις,
ἵνα κἀγὼ γενήσομαι καὶ ταπεινὸς καὶ πρᾶος,
καὶ τὴν διακονίαν μου, εἰ μὴ πρὸς τὸ συμφέρον
καὶ πρὸς τὴν σὴν ἀρέσκειαν καὶ τὴν σὴν θεραπείαν
μετέρχομαι, εὐδόκησον ἐξεωθῆναι ταύτης
καὶ μόνας, δέσποτα, θρηνεῖν τὰς ἐμὰς ἁμαρτίας,
τῆς κρίσεώς τε μεριμνᾶν τῆς δικαίας σου μόνης,
καὶ πῶς ἀπολογήσομαι πολλά σε παροργίσας !
Ναί, ὁ ποιμὴν ὁ συμπαθής, ὁ ἀγαθὸς καὶ πρᾶος,
ὁ θέλων πάντας τοὺς εἰς σὲ πιστεύοντας σωθῆναι,
ἐλέησον, εἰσάκουσον δεήσεώς μου ταύτης·
μὴ ὀργισθῆς, μὴ πρόσωπον ἀπ' ἐμοῦ ἀποστρέψῃς,
ἀλλὰ τὸ σόν με δίδαξον θέλημα ἐκπληρῶσαι !
Οὐ γὰρ ζητῶ τὸ θέλημα τὸ ἐμαυτοῦ γενέσθαι,
ἀλλὰ τὸ σόν, ἵνα καὶ σὲ θεραπεύσω, οἰκτίρμον !
Ὁρκίζω σε, ἐλέησον, ὁ φύσει ἐλεήμων,
καὶ τὸ συμφέρον ποίησον ψυχῆς μου τῆς ἀθλίας,
ὅτι Θεὸς φιλάνθρωπος αὐτὸς ὑπάρχεις μόνος,
ἄκτιστος, ἀτελεύτητος, παντοδύναμος ὄντως,
πάντων ζωὴ καὶ πάντων φῶς τῶν σὲ ἀγαπησάντων
καὶ παρὰ σοῦ, φιλάνθρωπε, λίαν ἀγαπωμένων !
Οἷς με συντάξαις, δέσποτα, καὶ δόξης σου τῆς θείας

D (E) F H O R Z — METRUM XV

58 μὴ δός : μηδ' ὡς D ‖ κόσμῳ τὴν : τῷ κόσμῳ ORZ ‖ 62 > ORZ ‖ 65 ἀξιωθῆναι Z ‖ 68 σε : σοι OR ‖ παροργήσας FHO ‖ 74 γενέσθαι : πληρῶσαι D ‖ 76 ὁρκίζοσαι D ‖ 82 συντάξας O ‖ συντάξαις, δέσποτα : αἰτῶ σε, σύνταξον D

61. Matth. 5, 3.5 62. Matth. 11, 29 69. Jn 10, 11 70.

dès maintenant et dans l'avenir, de la posséder inamissible
et par elle de te contempler, Dieu, éternellement!
Ne me donne pas, ô Maître, la gloire en ce monde, la gloire vaine[1],
ne me donne pas la richesse qui passe, ni des talents d'or,
ni un trône sublime, ni le pouvoir sur ces réalités périssables!
Mets-moi avec les humbles, avec les pauvres et les doux,
que je devienne, moi aussi, et humble et doux;
quant à mon office, si je ne puis m'en acquitter de façon utile,
de façon à te plaire et à te servir,
permets que j'en sois chassé
et que je n'aie à pleurer, Maître, que mes seuls péchés :
que mon unique souci soit ton juste jugement
et le moyen de me défendre après t'avoir tant offensé!
Oui, Pasteur compatissant, bon et doux,
qui veux le salut de tous ceux qui croient en toi,
aie pitié, exauce cette prière que je t'adresse :
Ne t'irrite pas, ne détourne pas de moi ton visage,
mais enseigne-moi à accomplir ta volonté,
car je ne cherche pas à ce que ma volonté à moi se fasse,
mais la tienne, afin de te servir, Miséricordieux!
Je t'en conjure, aie pitié, toi qui es naturellement pitoyable,
et fais ce qui est utile à mon âme misérable,
parce que toi, toi seul es le Dieu ami de l'homme,
incréé, sans fin, tout-puissant, véritablement,
vie et lumière de ceux qui t'aiment
et sont par toi, Ami de l'homme, tellement aimés!
Range-moi parmi eux, Maître, et de ta gloire divine

I Tim. 2, 4 72. Ps. 26, 9 73. Ps. 142, 10 74. Lc 22, 42 76. Mc 5, 7

1. Sur la vaine gloire, cf. **12**, 69 ; **27**, 152.

ἀποτελέσαις κοινωνόν τε καὶ συγκληρονόμον·
σοὶ γὰρ ἡ δόξα, τῷ Πατρὶ σὺν Υἱῷ συνανάρχῳ,
καὶ Θείῳ πρέπει Πνεύματι εἰς αἰῶνας αἰώνων,
ἀμήν.

D (E) F H O R Z — METRUM XV

83 συγκληρονόμον καὶ συγκοινωνὸν τὸν ταπεινόν με, ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος ἀποτέλεσον, σῶτερ D ‖ 84 ἡ : εἶ R ‖ 85 ἀμήν > Z ‖ Σ στίχοι πς' D ‖ Σ στίχοι πε' H

rends-moi participant, fais-moi cohéritier,
car à toi, Père, avec le Fils coéternel
et l'Esprit divin, appartient la gloire dans les siècles des 85
siècles. Amen.

---

83. I Pierre 5, 1. Rom. 8, 17

XLVIII

Ὅτι δόξα καὶ τιμή ἐστι παντὶ ἀνθρώπῳ ὑβριζομένῳ καὶ πάσχοντι κακῶς διὰ Θεοῦ ἐντολὴν ἡ ὑπὲρ αὐτῆς τῆς ἐντολῆς τοῦ Θεοῦ ἀτιμία · καὶ διάλογος εἰς τὴν ἰδίαν ψυχὴν διδάσκων τὸν ἀκένωτον πλοῦτον τοῦ πνεύματος

Δός μοι τὴν αἴσθησιν, Χριστέ, ἣν ἅπαξ ἐδωρήσω,
σκέπασον ταύτῃ με, σωτήρ, κρύψον ἐντός με ὅλον
καὶ μὴ ἐάσῃς αἴσθησιν ἐγγίζειν μοι τοῦ κόσμου,
μὴ ἔνδοθεν εἰσέρχεσθαι, μὴ ὅλως με τιτρώσκειν,
τὸν δοῦλον σου τὸν ταπεινόν, ὃν ἠλέησας μόνος!
Τῇ γὰρ μερίμνῃ τῇ καλῇ αἴφνης ἐπεισπεσοῦσα
ἡ αἴσθησις ἡ κοσμικὴ κακὰς ἐπιθυμίας
εὐθέως ἐνεποίησε ψυχῇ μου τῇ ἀθλίᾳ·
δόξαν γὰρ ὑποδείκνυσι, πλούτου ὑπομιμνήσκει,
τοῖς βασιλεῦσι τε τῆς γῆς ἐγγίζειν ἐποτρύνει
ὡς εὐτυχίαν λέγουσα εἶναι τοῦτο μεγάλην.
Ἐκ τούτων οὖν τῶν λογισμῶν, ὥσπερ ὑπὸ ἀνέμου

B D (E) F H O R Z — METRUM XV

Tit. τοῦ αὐτοῦ [ὅτι+R ‖ καὶ¹ > BFH ‖ παντὶ ἀνθρώπῳ ἐστὶν ∾ BFH ‖ ἡ ὑπὲρ αὐτῆς — τοῦ πνεύματος > R ‖ τοῦ Θεοῦ > F ‖ εἰς : πρὸς DZ ‖ διδάσκω B ‖ 4 ὅλον ORZ ‖ 6 ἐπιπεσοῦσα B ἐπισπεσοῦσα DR ‖ 9 πλοῦτον ORZ ‖ 10 ὑποτρύνει D ‖ 11 εἶναι > OZ ‖ τοῦτο εἶναι ∾ R

---

1. Contre la tentation de la vaine gloire, Syméon fait appel à Dieu (1-22), puis recourt à la méditation sur la caducité du monde (23-50). Il faut plaindre ceux qui mettent en celui-ci leurs espérances (51-72)

XLVIII

Que pour tout homme outragé et maltraité à cause d'un commandement de Dieu, le déshonneur subi pour ce commandement de Dieu est un honneur et une gloire ; dialogue de l'auteur avec son âme, enseignant l'inépuisable richesse de l'Esprit[1].

Donne-moi, ô Christ, la sensation que tu m'as déjà donnée[2],
par elle couvre-moi, Sauveur, cache-moi tout entier au-
dedans
et ne laisse pas approcher de moi la sensation du monde,
qu'elle ne pénètre pas en moi, qu'elle ne m'inflige aucune
blessure,
à moi ton serviteur chétif, dont toi seul as eu pitié!
Car, en s'attaquant subitement à la (seule) bonne pré-
occupation[3],
la sensation du monde a aussitôt fait entrer
des désirs mauvais en mon âme misérable;
elle lui fait entrevoir la gloire, elle lui remet en mémoire
la richesse,
elle l'incite à approcher les souverains de la terre,
elle lui dit que c'est là un grand bonheur.
A ces pensées, de même que sous l'effet de l'air

et ne chercher que Dieu sans se décourager (73-166). Cet Hymne porte le nº 11 dans Z, le nº 35 dans Pontanus, *PG* 120, 586 C - 589 B.

2. Ἅπαξ. Syméon a déjà reçu cette sensation et la possède toujours. Mais il la redemande.

3. La bonne préoccupation : celle du jugement, cf. **22**, 80 s. ; **47**, 60.

ἀσκὸς ὀγκοῦται καὶ τὸ πῦρ ἀνάπτεται εἰς φλόγα,
οὕτως ἐκείνη ἡ ψυχὴ φυσωμένη ὀγκοῦται
καὶ διατείνεται σφοδρῶς ἐπιθυμίᾳ δόξης
πλούτου τε καὶ ἀνέσεως τῶν κάτω συρομένων,
ἐφίεται δοξάζεσθαι σὺν τοῖς δοξαζομένοις,
περιφανῆς τε φαίνεσθαι σὺν τοῖς περιφανέσι
καὶ πλοῦτον κτᾶσθαι σὺν αὐτοῖς τοῖς τὸν πλοῦτον κτωμένοις,
ἥνπερ ἐδόξασας αὐτὸς φωτί σου τῷ ἀρρήτῳ,
ἥνπερ αὐτὸς ἐστόλισας δόξῃ σου τῇ ἀφράστῳ,
ἥνπερ αὐτὸς παρέδειξας λαμπρότητά σου θείαν.
Ἡ αἴσθησις αἰχμάλωτον τὸν νοῦν αὐτῆς λαβοῦσα
ὑποδεικνύει βασιλεῖς, ὑπομιμνήσκει δόξης
καὶ πλοῦτον ὑποδείκνυσι τὸν τοῦ παρόντος βίου,
ὀργᾶν πρὸς ταῦτα τε ποιεῖ τῇ ἐνθυμήσει μόνῃ.
Ὦ σκότους, ὦ πωρώσεως, ὦ λογισμῶν ματαίων,
προθέσεώς τε ῥυπαρᾶς καὶ ἀναισθήτου γνώμης,
ὅτι λιπὼν τὰ ἄρρητα καὶ ἄφθαρτα τοῦ βλέπειν
τὰ ἐπὶ γῆς λογίζομαι καὶ ταῦτα ἐνθυμοῦμαι !
Οὐ τελευτήσει βασιλεύς, οὐχὶ παρέλθει δόξα,
οὐ πλοῦτος σκορπισθήσεται ὥσπερ χνοῦς ὑπ' ἀνέμου ;
Οὐχὶ διαφθαρήσεται τὰ σώματα ἐν τάφοις
καὶ ἄλλοι κυριεύσουσι τῶν ἐν τῇ γῇ χρημάτων
καὶ μετ' ἐκείνους ἕτεροι καὶ ἀπ' ἐκείνων ἄλλοι ;
Καὶ τίνος, λέγε μοι, ψυχή, ὁ πλοῦτος ἐγεγόνει,

B D (E) F H O R Z — METRUM XV

14 φυσουμένη BFH ‖ 17 δοξαζομένοις : δεδοξασμένοις D > O ‖ 18 περιφανής — τοῖς > O ‖ φαίνεται BH ‖ 21 ἐστόλησας BFO ‖ 22 ἥπερ Z ‖ λαμπρότητά σου θείαν : πρόσωπόν σου τὸ θεῖον D ‖ 27 ὦ³ : τῶν B ‖ 29 λιπὼν : λοιπὸν OR ‖ 32 χοῦς F ‖ 33 ἐν+τοῖς RZ ‖ 34 κυριεύουσι Z ‖ 35 μετ' ἐκείνους : μετ' ἐκείνων B ‖ ἀπ' ἐκείνων ... μετ' ἐκείνους ∞ D ‖ 36 λέγε μοι : ἕνεκεν D

32. Sag. 5, 14

1. Les outres servaient, dans l'Antiquité, de soufflets de forge.

l'outre se gonfle[1] et le foyer fait jaillir la flamme,
l'âme pareillement s'enfle et se gonfle,
violemment distendue par le désir de la gloire,
de la richesse et du bien-être des gens qui rampent ici-bas,
elle aspire à être glorifiée avec les gens que l'on glorifie,
à briller et à s'illustrer avec les illustres,
à posséder la richesse avec ceux-là qui possèdent la richesse,
— cette âme que toi-même tu as glorifiée par ton ineffable lumière,
que toi-même as revêtue de ta gloire inexprimable,
à qui toi-même as fait voir ton éclat divin.
La sensation du monde, ayant fait prisonnière l'intelligence de l'âme,
lui fait entrevoir les rois, lui remet en mémoire la gloire[2],
lui fait entrevoir la richesse de la vie présente
et la fait aspirer à ces biens par la seule imagination.
Ô ténèbres! ô endurcissement! ô vaines pensées,
aspirations immondes, opinion stupide :
abandonnant la vue[3] des biens ineffables et incorruptibles,
je songe aux choses de la terre et ce sont elles qui m'occupent!
Le roi ne doit-il pas mourir? la gloire, passer?
la richesse, s'envoler comme poussière au vent?
les corps, pourrir dans les tombes?
et d'autres maîtres posséder les richesses terrestres,
et après ceux-ci d'autres, et d'autres encore après les seconds?
A qui — dis-moi, mon âme — la richesse a-t-elle appartenu,

Cf. Daremberg-Saglio, *Dictionnaire des Antiquités grecques et romaines*, article « Uter (ἀσκός) ».

2. Cf. v. 9. Sans aller jusqu'à la répétition littérale, Syméon aime ces reprises pour mieux affirmer sa pensée. Cf. *Introd.*, p. 80 (*SC* 156).

3. Τοῦ βλέπειν pourrait à la rigueur se lier à ce qui suit.

τίς δὲ ἐν κόσμῳ ἴσχυσε μικρὸν κερδῆσαι πρᾶγμα,
ἵν' ὥσπερ ζῶν τε καὶ θανὼν μετ' αὐτοῦ τοῦτο λάβῃ ;
Πάντως οὐδένα οὐδαμῶς δεῖξαί μοι εὐπορήσεις,
εἰ μὴ τοὺς ἐλεήμονας, τοὺς μηδὲν κτησαμένους,
ἀλλὰ τὰ πάντα ἐν χερσὶ τῶν πενήτων διδόντας.
Ἐκεῖνοι γὰρ καὶ ἔχουσιν ἀσφαλῶς τὰ δοθέντα,
ἀφ' οὗπερ καὶ δεδώκασιν εἰς χεῖρας τοῦ δεσπότου·
οἱ δ' ἄλλοι πάντες ὡς πτωχοὶ καὶ πτωχῶν πάντων χείρους
ὑπάρχουσιν, οἱ ἔχοντες ἀποκείμενον πλοῦτον·
γυμνοὶ γὰρ ὥσπερ πτώματα ῥίπτονται ἐν τοῖς τάφοις
καὶ τῶν παρόντων ἄθλιοι καὶ τῶν μελλόντων ξένοι.
Τί οὖν, ψυχή μου, ἐν αὐτοῖς καλὸν ὁρῶσα τέρπῃ ;
Ποῖον δὲ τούτων ἄξιον κρίνεις ἐπιθυμεῖσθαι ;
Πάντως οὐκ ἔχεις τι εἰπεῖν, πάντως οὐκ ἀποκρίνῃ.
Οὐαὶ τοῖς πλοῦτον ἔχουσιν ἐκτεθησαυρισμένον,
οὐαὶ τοῖς δόξαν θέλουσι λαμβάνειν ἐξ ἀνθρώπων,
οὐαὶ τοῖς παρενείρουσιν ἑαυτοὺς τοῖς πλουσίοις
καὶ μὴ τὴν δόξαν τοῦ Θεοῦ καὶ τὸν ἐκείνου πλοῦτον
καὶ τὸ συνεῖναι μετ' αὐτοῦ μόνον ἐπιθυμοῦσιν,
ὅτι ὁ κόσμος μάταιος, τὰ δ' ἐν τῷ κόσμῳ πάντα
ματαιοτήτων ἔσονται, τὰ πάντα ματαιότης.
Διὸ καὶ παρελεύσονται, Θεὸς δὲ ἔσται μόνος
αἰώνιος καὶ ἄφθαρτος εἰς ἀεὶ διαμένων,
καὶ σὺν αὐτῷ δὲ ἔσονται οἱ νῦν αὐτὸν ζητοῦντες,
οἱ μόνον ἀγαπήσαντες ἐκεῖνον ἀντὶ πάντων.

B D (E) F H O R Z — METRUM XV

37 πρᾶγμα κερδῆσαι ∽ D ‖ 38 ὥσπερ : ὅπως D ‖ 41 διδόντα D ‖ 42 Εἰ κοῖνοι H ‖ 45 ἔχοντες : ἄρχοντες B ‖ 51 ἐντεθησαυρησμένον R ‖ 52 θέλουσιν F HR ‖ 59 ἐσαεὶ Z

38. Ps. 48, 18 45. Lc 19, 20 52. Jn 5, 41-44 57. Eccl. 1, 2 59. I Tim. 1, 17

et qui dans le monde a été capable de gagner si peu que ce soit,
de façon à pouvoir, mort aussi bien que vivant, l'emporter avec lui?
Personne! non, tu ne pourras jamais me montrer personne!
— sinon les miséricordieux, ceux qui ne possèdent rien
mais donnent tout dans les mains des indigents;
c'est eux, oui, qui gardent en sécurité ce qu'ils ont donné,
du jour où ils l'ont donné dans les mains du Maître.
Tandis que les autres, tous des pauvres, les plus pauvres des pauvres :
voilà ce qu'ils sont, eux les possesseurs d'une richesse thésaurisée,
et c'est nus comme tous les cadavres, qu'on les jette dans leurs tombes,
misérables, (privés) des biens présents et exilés des biens à venir.
Que vois-tu donc en eux de beau, mon âme, qui te charme?
De tout cela qu'est-ce qui, à ton jugement, mérite d'être envié?
Non, tu n'as rien à me dire, non, rien à me répondre!
Malheur à ceux qui gardent leur richesse en dépôt[1]!
Malheur à ceux qui veulent recevoir leur gloire des hommes!
Malheur à ceux qui se faufilent parmi les riches
au lieu de désirer la gloire de Dieu, la richesse de Dieu,
de désirer être unis avec lui et rien d'autre,
car vain est le monde et tout ce qui est dans le monde,
tout ne sera que vanité des vanités.
Aussi tout passera-t-il, et Dieu seul sera
éternel, immortel, demeurant pour toujours,
et avec lui seront ceux qui maintenant le cherchent
et qui, au lieu de tout le reste, n'auront aimé que lui.

1. Avec des mots différents Syméon reprend, et avec joie, la malédiction du Christ aux riches ; mais cette malédiction porte ici sur la recherche de la gloire autant que sur l'amour de la richesse.

Οὐαὶ δὲ τότε τοῖς νυνὶ τὸν κόσμον ἀγαπῶσιν,
ὅτι κατακριθήσονται ἐν αὐτῷ εἰς αἰῶνας !
Οὐαί, ψυχή, τοῖς θέλουσι τὴν δόξαν τῶν ἀνθρώπων,
ὅτι τῆς δόξης τοῦ Θεοῦ τότε ἀποστεροῦνται !
Οὐαί, ψυχή, τοῖς ἔχουσι τὸν πλοῦτον συνηγμένον,
ὅτι ἐπιθυμήσουσιν ἐκεῖ τυχεῖν ῥανίδος !
Οὐαί, ψυχή, τοῖς ἔχουσιν ἐπ' ἄνθρωπον ἐλπίδα,
ὅτι αὐτὸς τεθνήξεται καὶ σὺν αὐτῷ ἐλπίδες,
καὶ τότε εὑρεθήσονται μὴ ἔχοντες ἐλπίδα !
Οὐαί, ψυχή, τοῖς ἔχουσιν ἀνάπαυσιν ἐνταῦθα,
ὅτι ἐκεῖθεν ἕξουσιν αἰώνιον τὴν θλῖψιν !
Εἰπέ, ψυχή μου, τί λυπῇ, τί ζητεῖς τῶν ἐν βίῳ,
εἰπέ μοι, καὶ διδάξω σε ἑνὸς ἑκάστου χρείαν
καὶ μάθε καὶ διδάχθητι τὸ καλὸν ἐν ἑκάστῳ !
Θέλεις, εἰπέ, δοξάζεσθαι, θέλεις καὶ ἐπαινεῖσθαι ;
Ἄκουσον τοίνυν, τί τιμή, τί δὲ καὶ ἀτιμία·
τιμὴ τὸ πάντας μὲν τιμᾶν, τὸν Θεὸν δὲ πρὸ πάντων
καὶ τὰς ἐκείνου ἐντολὰς ἐπικτᾶσθαι ὡς πλοῦτον,
ὑβρίζεσθαί τε δι' αὐτάς, δι' αὐτὰς λοιδορεῖσθαι
καὶ δι' αὐτὰς ὀνειδισμοὺς ὑποφέρειν παντοίους.
Ὅταν γὰρ πράγματί τινι, ψυχή, ἐπιχειρήσῃς,
ἵνα τιμήσῃς τὸν Θεόν, ἵνα αὐτὸν δοξάσῃς
καὶ διὰ τοῦτο ὑβρισθῇς καὶ ἐξουδενωθήσῃ,
τότε τιμῆς ἐπέτυχες καὶ δόξης τῆς ἑστώσης,

B D (E) F H O R Z — Metrum XV

62 νῦν ORZ ‖ 64 δόξαν τὴν ∾ ORZ ‖ 66 συνημμένον D ‖ 68 ἐλπίδας Z ‖ 73 λυπῇς Z ‖ ζητῆς O ‖ 78 μὴν Z ‖ δὲ Θεὸν ∾ ORZ ‖ 80 τε : δὲ Z ‖ 82 ἐπιχειρίσῃς Z

62. I Jn 2, 15 63. I Cor. 11, 32 64. Jn 12, 43 65. Rom. 3, 23 67. Lc 16, 24 68. Jér. 17, 5

1. Syméon ici encore s'inspire de la Parabole de Lazare. C'est à peu près la réponse d'Abraham au riche dans les tourments : « Tu as reçu tes biens pendant ta vie et Lazare pareillement ses maux ; maintenant donc il trouve ici consolation et toi, tu es à la torture », *Lc* 16, 25.

Mais malheur, en ce jour, à ceux qui maintenant aiment le monde,
car avec le monde ils seront condamnés pour tous les siècles!
Malheur, mon âme, à ceux qui désirent la gloire des hommes,
car alors ils seront privés de la gloire de Dieu!
Malheur, mon âme, à ceux qui gardent leur richesse entassée,
car là-bas ils soupireront après une goutte d'eau!
Malheur, mon âme, à ceux qui mettent dans l'homme leur espérance,
car l'homme mourra, et avec lui leurs espoirs,
et alors ils se trouveront dénués de tout espoir!
Malheur, mon âme, à ceux qui trouvent ici-bas leur repos,
car là-bas ils trouveront éternellement l'affliction[1]!
Dis-moi, mon âme, pourquoi es-tu triste, que recherches-tu des biens de cette vie!
réponds-moi et je t'enseignerai de chacun l'utilité,
laisse-toi instruire, apprends ce qu'il y a de bon en chacun.
Veux-tu être glorifiée, dis-moi, veux-tu être louée?
Écoute donc ce qu'est l'honneur et ce qu'est le déshonneur.
L'honneur, c'est d'honorer tous les êtres, mais Dieu plus qu'eux tous,
de gagner pour toute richesse ses commandements
et pour eux de souffrir les injures, pour eux les insultes,
pour eux de supporter les outrages de toute sorte.
Lorsqu'en effet, mon âme, tu t'es efforcée en quelque occasion
d'honorer Dieu, de le glorifier,
et que pour cela tu as été outragée, méprisée,
c'est alors que tu as obtenu l'honneur et la gloire qui demeurent,

ὅτι ἡ δόξα τοῦ Θεοῦ ἐπί σε πάντως ἥξει.
Τότε σε καὶ οἱ ἄγγελοι ἐπαινέσουσι πάντες,
ὅτι ἐτίμησας Θεόν, ὃν ὑμνοῦσιν ἐκεῖνοι.
Θέλεις, ψυχή μου, κτήσασθαι ἱματισμὸν καὶ πλοῦτον ;
"Ακουσον, ἄρτι δείξω σοι τὸν αἰώνιον πλοῦτον·
δάκρυσον, μετανόησον, καταφρόνησον πάντων,
γενοῦ πτωχὴ τῷ πνεύματι, γενοῦ καὶ τῇ καρδίᾳ,
γενοῦ ἀκτήμων χρήμασι, γενοῦ τοῦ κόσμου ξένη,
γενοῦ τῶν θελημάτων σου ἐχθρὰ τῶν ἐναντίων
καὶ μόνου τοῦ θελήματος γενοῦ τοῦ σοῦ δεσπότου
καὶ ἀκολούθησον αὐτοῦ τοῖς ἴχνεσιν εὐτόνως !
Καὶ τότε σχολαιότερον βαδίσας ὁ δεσπότης
θέλων καταληφθήσεται ὑπὸ σοῦ τῆς ἀθλίας·
αὐτὸν δ' ἰδοῦσα βόησον καὶ κραύγασον μεγάλως,
αὐτὸς δ' ἐπιστραφήσεται ὄμματι τῷ ἱλέῳ
καὶ βλέψει καὶ παράσχει σοι μικρὸν αὐτὸν ἰδέσθαι
καὶ πάλιν καταλείψει σε κρυβεὶς ἐξ ὀφθαλμῶν σου.
Τότε θρηνήσεις, τάλαινα, τότε κλαύσεις ἐμπόνως,
τότε αἰτήσεις θάνατον μὴ φέρουσα τὸν πόνον,
μὴ στέγουσα τὸν χωρισμὸν τοῦ γλυκέος δεσπότου.
Αὐτὸς ἐξαποροῦσαν δὲ ὁ ἀγαθὸς ἰδών σε
καὶ σφοδρῶς ἐπιμένουσαν τῷ κλαυθμῷ καὶ τῇ λύπῃ
πάλιν αἴφνης φανήσεται, πάλιν σε καταυγάσει,
πάλιν καθυποδείξει σοι τὸν ἀκένωτον πλοῦτον,
τὴν δόξαν τὴν ἀμάραντον τοῦ πατρικοῦ προσώπου,
καὶ εὐφρανεῖ σε ὡς τὸ πρὶν καὶ χαρᾶς σε ἐμπλήσει
καὶ οὕτω καταλείψει σε τῆς χαρᾶς πεπλησμένην.

B D (E) F H O R Z — METRUM XV

86 σε > B ‖ πάντων B ‖ 89 κτίσασθαι DO ‖ 90 > D ‖ 96 ἀκουλούθησον O ‖ 99 δ' > ORZ ‖ 100 ἱλέῳ : ἐλέῳ B ‖ 101 παράσχῃ DORZ ‖ 105 στέργουσα Z ‖ 106 δὲ : σε F ‖ 107 ὑπομένουσαν B ‖ 108 αἴφνης [σε+ORZ ‖ 111 χαράν B ‖ ἐμπλήσει : πεπλησμένην O ‖ 112 > O ‖ οὕτως D

86. Is. 60, 1 92. Matth. 5, 3 96. I Pierre 2, 21. 98. Phil. 3, 12 110. II Cor. 3, 7

car la gloire de Dieu ne manquera pas de venir sur toi;
c'est alors que tous les anges te loueront,
car tu auras honoré Dieu, Dieu qu'ils chantent eux-mêmes.
Veux-tu, mon âme, acquérir parure et richesse?
Écoute, je vais te montrer la richesse éternelle :
pleure, fais pénitence, méprise toutes choses,
deviens pauvre en esprit, deviens pauvre de cœur,
deviens indigente en réalité[1], deviens étrangère au monde,
deviens ennemie de tes propres volontés mauvaises,
deviens (soumise) à la seule volonté de ton Maître[2]
et suis ses traces avec ardeur!
Alors le Maître ralentira sa marche
pour se laisser rattraper par toi, pauvre âme.
Quand tu le verras, appelle-le, pousse de grands cris,
et lui se retournera, avec ses yeux pleins de miséricorde,
et il te regardera, et il t'accordera de le voir un peu,
et à nouveau il te laissera, se dissimulant à tes yeux[3].
Alors tu gémiras, misérable, alors tu pleureras de toutes tes forces,
alors tu réclameras la mort, ne pouvant plus supporter ta souffrance
ni soutenir la séparation d'avec ton doux Maître.
Mais lui, dans sa bonté, te voyant à bout de forces,
fidèle, obstinée dans les sanglots et le chagrin,
tout à coup il reparaîtra, t'illuminera à nouveau,
à nouveau il te fera apercevoir l'inépuisable richesse,
la gloire inflétrissable de son visage de père,
il te rendra ton bonheur d'antan, il t'emplira de joie,
et alors il te laissera, comblée de cette joie.

1. Indigente en réalité ou en fortune. Double sens de χρῆμα.
2. Sur cette construction de γίνεσθαι avec le génitif, cf. **58**, 363.
3. Sur ces alternatives de consolation et de détresse, ces temps où le Seigneur se laisse entrevoir puis disparaît, cf. **29**, 39-136, mais aussi *Euch.* **1**, l. 156-195 ; *Euch.* **2**, l. 126-272.

Κατὰ μικρὸν δὲ ἡ χαρὰ τοῖς ἐκ τοῦ κόσμου λόγοις
καὶ λογισμοῖς ἐκλείψει σε καὶ προσέσται σοι λύπη,
καὶ οὕτω πάλιν ὡς τὸ πρὶν ἔσῃ σφοδρῶς θρηνοῦσα
καὶ κοκυτῷ κραυγάζουσα κἀκεῖνον ἐκζητοῦσα,
τὸν εὐφροσύνης πάροχον, τὸν τῆς χαρᾶς δοτῆρα,
τὸν πλοῦτον τὸν ἱστάμενον καὶ ἀεὶ ὄντως ὄντα.
Οὕτω σου τὴν προαίρεσιν δοκιμάζοντος βλέπε,
μὴ ἀποκάμῃς, ὦ ψυχή, μὴ στραφῇς εἰς τοὐπίσω,
μὴ εἴπῃς· Μέχρι πότε μοι ἄληπτος οὕτως ἔσται ;
μὴ εἴπῃς· Τί φαινόμενος εὐθὺς κρύπτεται πάλιν
καὶ ἕως πότε κόπους μοι οὐκ ἐλεεῖ παρέχειν ;
μὴ εἴπῃς· Πῶς δὲ δύναμαι κοπιᾶν μέχρι τέλους ;
καὶ κατοκνήσῃς, ὦ ψυχή, ἐκζητεῖν τὸν δεσπότην,
ἀλλ' ὡς πρὸς θάνατον σαυτὴν ἅπαξ, ψυχή, ἐκδοῦσα
μὴ ψηλαφήσῃς ἄνεσιν, μὴ ἐκζητήσῃς δόξαν,
μηδὲ τρυφὴν τοῦ σώματος, μὴ συγγενῶν φιλίαν,
μὴ περιβλέψῃ δεξιᾷ, μὴ εὐωνύμᾳ ὅλως,
ἀλλ' ὡς ἐνήρξω, μᾶλλον δὲ θερμοτέρως δραμοῦσα
σπεῦσον ἀεὶ καταλαβεῖν, δράξασθαι τοῦ δεσπότου !
Κἂν μυριάκις ἄφαντος, τοσαυτάκις φανής σοι
γένηται καὶ ὁ ἄληπτος οὕτως ἔσται ληπτός σοι,
μυριοντάκις, μᾶλλον δὲ ἕως πνέεις ὅλως,
προθυμοτέρως ζήτησον καὶ πρὸς ἐκεῖνον δράμε !

B D (E) F H O R Z — METRUM XV

114 προσέσθαι OR ‖ 119 οὕτως D ‖ 121 μοι : μου Z ‖ 123 ἐλεεῖς OR ‖ παρέχων ORZ ‖ 124 δὲ > ORZ ‖ κοποιᾶν Z ‖ 125 ἐκζητῶν RZ ‖ 126 ἐνδοῦσα D ‖ 129 περιβλέψῃς Z ‖ μὴ εὐωνύμᾳ : ἢ ἀριστερὰ Z ‖ 132 φανῇ σοι B ‖ 133 ὁ > ORZ ‖ 134 M ! ‖ μυριοτάκις D ‖ ἐμπνέεις D ἐμπνεύεις Z ‖ 135 προθυμωτέρως Z

120. Lc 17, 31 131. Phil. 3, 13

1. Ne te retourne pas en arrière. La persévérance au milieu de l'épreuve est essentielle au progrès spirituel. Syméon y revient souvent, cf. **29**, **61**, 81 ; **58**, 55.

Mais peu à peu la joie, devant les discours du monde
et ses pensées, t'abandonnera ; le chagrin t'envahira,
et voilà qu'à nouveau, comme par le passé, tu seras plongée dans les gémissements,
l'appelant avec des cris perçants, le cherchant,
lui la source du bonheur, lui le donateur de la joie,
lui la richesse qui demeure et subsiste à jamais.
Tandis qu'il met ainsi ta volonté à l'épreuve, veilles-y bien,
ne te décourage pas, mon âme, ne te retourne pas en arrière[1],
ne dis pas : « Jusques à quand restera-t-il ainsi insaisissable? »
ne dis pas : « A peine apparu, pourquoi se cache-t-il de nouveau?
jusques à quand, sans pitié, me tracassera-t-il ainsi? »
ne dis pas : « Comment pourrai-je jusqu'à la fin supporter de tels tracas? »,
ne te relâche pas, mon âme, dans la poursuite du Maître,
mais comme une âme qui s'est une bonne fois livrée d'elle-même à la mort,
ne tâtonne pas (à la recherche de) tes aises, ne poursuis pas la gloire,
ni la jouissance du corps, ni l'affection de tes proches,
ne jette pas un coup d'œil à droite, pas un coup d'œil à gauche,
mais, comme tu as commencé, et même de plus belle, cours,
hâte-toi sans répit pour atteindre, pour saisir le Maître!
Quand bien même il disparaîtrait dix mille fois et dix mille fois t'apparaîtrait,
et qu'ainsi l'insaisissable serait pour toi saisissable,
dix mille fois, ou plutôt tant que tu respires,
redouble d'ardeur à sa poursuite et cours vers lui!

Καὶ γὰρ οὐ καταλείψει σε, οὐκ ἐπιλήσεταί σου,
κατὰ μικρὸν δὲ μάλιστα ἐπὶ πλεῖον φανεῖται
καὶ συχνοτέρως σοι, ψυχή, συνέσται ὁ δεσπότης
καὶ καθαρθεῖσαν τέλεον τοῦ φωτὸς τῇ ἐλλάμψει
ὅλος αὐτὸς ἐλεύσεται, αὐτὸς ἐγκατοικήσει,
αὐτὸς καὶ ἔσται μετὰ σοῦ ὁ τὸν κόσμον ποιήσας,
καὶ πλοῦτον ἕξεις ἀληθῆ ὃν ὁ κόσμος οὐκ ἔχει,
ἀλλ' οὐρανὸς καὶ οἱ ἐκεῖ ἐναπογεγραμμένοι.
Εἰ οὕτω σοι γενήσεται, εἰπέ, τί πλέον θέλεις ;
Εἰπέ, ψυχὴ ἀχάριστε, εἰπέ, ψυχὴ ἀγνῶμον,
εἰπέ, ψυχή μου ταπεινή, τί τούτων μεῖζον ἔστιν
ἐν οὐρανοῖς εἴτ' ἐν τῇ γῇ, ἵν' ἐκεῖνο ζητήσῃς ;
Τοῦ οὐρανοῦ ὁ ποιητὴς καὶ τῆς γῆς ὁ δεσπότης
καὶ πάντων τῶν ἐν οὐρανῷ καὶ πάντων τῶν ἐν κόσμῳ
κτίστης, κριτὴς καὶ βασιλεὺς αὐτὸς ὑπάρχων μόνος
ἐν σοὶ ὑπάρχει κατοικῶν, ὅλος δεικνύμενός σοι,
ὅλος ἐλλάμπων σε φωτὶ καὶ κάλλος ὑποφαίνων
τὸ τοῦ προσώπου, καὶ αὐτὸν ἐκτυπώτερον βλέπειν
παρέχων σοι καὶ κοινωνὸν δόξης σε τῆς Ἰδίας
ἀπεργαζόμενος. Εἰπέ, τί τούτου μεῖζον ἄλλο ;
— Πάντως οὐδέν, μοι προσερεῖς —. Ἐγὼ δὲ πάλιν λέγω·
Τοιαύτης δόξης, ὦ ψυχή, σὺ καταξιωθεῖσα
τί ἔτι κέχηνας πρὸς γῆν, τί δὲ θέλγῃ τοῖς ὧδε,
τί τοῖς φθαρτοῖς προστέτηκας τὰ ἄφθαρτα λαβοῦσα,
τί τοῖς παροῦσι πρόσκεισαι τὰ μέλλοντα εὑροῦσα ;

B D (E) F H O R Z — METRUM XV

136 καταλείψῃ Z ‖ ἐπιλήψεται F ‖ 137 μάλισα Z ‖ 141 ἔσται καὶ ∽ Z ‖ 144 οὕτως D ‖ 145 ἀγνώμων ORZ ‖ 146 τούτου D ‖ 147 οὐρανεῖς Z ‖ εἴτε codd. ‖ τῇ > DOR ‖ 148 ὁ¹ > B ‖ 150 ὑπάρχεις F ὑπάρχον Z ‖ 158 τοῖς : τῶν D

141. Act. 17, 24 — 143. Hébr. 12,23 — 154. I Pierre 5, 1

1. Ἀγνώμων : sans connaissance et sans reconnaissance, selon le double sens de ce mot. L'âme ne reconnaît pas son bienfaiteur parce qu'elle ne connaît pas son vrai bonheur, cf. **45**, 56 et note.

Car il ne t'abandonnera pas, il ne t'oubliera pas,
peu à peu, au contraire, de mieux en mieux il se montrera,
plus fréquente se fera pour toi, mon âme, la présence du Maître
et, après t'avoir parfaitement purifié par l'éclat de sa lumière,
lui-même tout entier viendra en toi, lui-même habitera en toi,
lui-même sera avec toi, lui l'auteur du monde,
et tu posséderas la richesse véritable que le monde ne possède pas,
que seuls possèdent le ciel et ceux qui sont inscrits dans les cieux.
Cela une fois réalisé en toi, dis-moi, que veux-tu de plus?
Dis-moi, âme ingrate[1], dis-moi, âme insensée,
dis-moi, ma pauvre âme, qu'existe-t-il de plus grand que cela
soit au ciel, soit sur la terre, pour que tu le recherches?
Celui qui a fait le ciel, le maître de la terre
et de tout ce qui est dans le ciel et de tout ce qui est dans le monde,
le Créateur, lui le seul Juge, lui le seul Roi,
c'est lui qui habite en toi, (c'est lui) qui se montre en toi,
qui tout entier t'éclaire de sa lumière et te fait voir la beauté
de son visage, qui t'accorde de le voir en personne
plus distinctement, qui te donne part à sa propre gloire.
Dis-moi, qu'existe-t-il de plus grand que cela?
Rien assurément! me répondras-tu. Alors je te demande encore :
Si telle est la gloire, ô mon âme, dont tu as été gratifiée,
qu'as-tu à rester bouche bée devant la terre, à trouver ton plaisir aux choses d'ici-bas?
qu'as-tu à te consumer pour les biens corruptibles, alors que tu as reçu les incorruptibles,
à soupirer après les biens présents, quand tu as trouvé les biens à venir?

Ἐκεῖνα σπούδασον, ψυχή, διηνεκῶς κεκτῆσθαι,
ἐκείνοις ὅλην σεαυτὴν προσκόλλησον, ψυχή μου,
ἵνα καὶ μετὰ θάνατον ἐν αὐτοῖς εὑρεθήσῃ
τοῖς αἰωνίοις ἀγαθοῖς, οἷς ἐντεῦθεν ἐκτήσω,
καὶ σὺν αὐτοῖς τῷ ποιητῇ παραστῇς καὶ δεσπότῃ
εὐφραινομένη σὺν αὐτῷ εἰς αἰῶνας αἰώνων,
ἀμήν.

BD(E)FHORZ — METRUM XV

161 ὃ [ψυχή+R ‖ 162 ὅλοις R ‖ ἑαυτὴν FH ‖ 164 αἰωνίως F ‖ 166 ἀμήν > O ‖ Σ στίχοι ρξε' D ‖ Σ στίχοι ρξς' H

Pour ceux-ci, mon âme, pour les acquérir, efforce-toi sans relâche,
à eux attache-toi tout entière, ô mon âme,
afin qu'après la mort tu sois trouvée en eux,
trouvée dans les biens éternels que tu auras gagnés ici-bas,
et qu'avec eux tu comparaisses devant le Créateur et le Maître
pour te réjouir avec lui dans les siècles des siècles. Amen.

163. Phil. 3, 9

XLIX

Ὅτι ἔστιν, ὅτε καὶ διὰ τῆς εἰς τὸν πλησίον ἐπιμελείας καὶ διορθώσεως συγκατασπᾶσθαι τὸν διδάσκαλον εἰς τὴν ἐνοῦσαν ἐκείνῳ τοῦ πάθους ἀσθένειαν

Ἐλέησόν με, κύριε, ἐλέησόν με, μόνε,
ὁ ἐκ νηπίας με, σωτήρ, σκεπάσας ἡλικίας,
ὁ πάμπολλά μοι πταίσαντι, ἐν ἐπιγνώσει ὄντι,
οἰκείᾳ ἀγαθότητι ἅπαντα συμπαθήσας,
ὁ κόσμου με ῥυσάμενος τοῦ δεινοῦ καὶ ματαίου
καὶ συγγενῶν καὶ φίλων τε καὶ ἡδονῶν ἀτόπων
κἀνταῦθα ἀξιώσας με ὡς ἐν ὄρει καθίσαι
καὶ δείξας μοι τὴν δόξαν σου τὴν θαυμαστήν, Θεέ μου,
καὶ Πνεύματος ἐμπλήσας με τοῦ Θείου σου, Χριστέ μου,
καὶ φωτισμοῦ πνευματικοῦ ὅλον με ἐμφορήσας!
Αὐτὸς ἀμεταμέλητον τὴν χάριν σου, Θεέ μου,
παράσχου μοι τῷ δούλῳ σου εἰς τέλος ὁλοκλήρως!
Μὴ ἀντανέλῃς, δέσποτα, μὴ ἀποστρέψῃς, κτίστα,
μηδὲ παρίδῃς ἅπαξ με πρὸ προσώπου σου στήσας

D H O R Z — METRUM XV

Tit. τοῦ αὐτοῦ [ὅτι+R ‖ ἔστι Z ‖ ἐπιμελείας καὶ > R

7. Matth. 17, 1 — 8. Ex. 33, 18 — 13. Ps. 50, 13

1. Après avoir goûté l'union divine (1-49), Syméon est tombé, pour s'être penché imprudemment vers ses frères (50-65). Il implore la Lumière qui établit l'homme au-dessus du monde et le Pain de la béatitude éternelle (66-104). Cet Hymne porte le nº 24 dans Z, mais on ne le trouve pas dans Pontanus.

XLIX

Qu'il arrive que, du fait du souci qu'il prend pour redresser son prochain, le maître soit entraîné dans l'infirmité de la passion qui domine son disciple[1].

Aie pitié de moi, Seigneur, aie pitié de moi, Unique,
Sauveur, qui depuis l'âge le plus tendre m'as protégé,
qui, après d'innombrables fautes commises en pleine connaissance,
m'as, par ta seule bonté, fait grâce de tout,
qui m'as arraché à ce monde redoutable et vain,
à mes proches, à mes amis, aux plaisirs illicites
et as daigné m'établir ici comme sur une montagne[2],
toi qui m'as fait voir ta gloire admirable, ô mon Dieu,
qui m'as rempli de l'Esprit, de ton Esprit divin, ô mon Christ,
et m'as comblé, jusqu'au bord, de l'illumination spirituelle!
Daigne toi-même, irrévocablement, m'accorder ta grâce, ô mon Dieu,
à moi ton serviteur, jusqu'au bout, sans partage!
Ne me la retire pas, Maître, ne l'écarte pas de moi, Créateur,
ne me néglige pas, après m'avoir une bonne fois placé devant ton visage

2. Allusion à la Transfiguration, cf. **52,** 80 : la montagne de la connaissance divine, de la contemplation divine (où) nous entendrons la voix du Père. Mais dans le langage monastique, la montagne se confond souvent avec le désert.

καὶ κατατάξας ἐν τοῖς σοῖς δούλοις με καὶ σφραγίσας
σφραγίδι σου τῆς χάριτος σόν με ἐπονομάσας!
Μὴ πάλιν ἀπορρίψῃς με, μὴ πάλιν ἀποκρύψῃς
τὸ φῶς τὸ τοῦ προσώπου σου, κἀμὲ καλύψῃ σκότος
καὶ καταπίῃ ἄβυσσος καὶ σύσχῃ οὐρανός με,
ὃν ὑπεράνωθεν αὐτοῦ ἀνήγαγες, σωτήρ μου,
καὶ σὺν ἀγγέλοις, μᾶλλον δὲ σὺν σοὶ τῷ πάντων κτίστῃ
συνεῖναι κατηξίωσας καὶ συναγάλλεσθαί σοι
καὶ βλέπειν τὴν ἀσύγκριτον τοῦ σοῦ προσώπου δόξαν
τοῦ ἀπροσίτου τε φωτὸς εἰς κόρον ἀπολαύειν
καὶ χαίρειν καὶ εὐφραίνεσθαι ἄρρητον εὐφροσύνην
τῇ συνουσίᾳ, δέσποτα, τῆς σῆς ἀφράστου αἴγλης.
Κατατρυφῶν δὲ τοῦ φωτὸς ἐκείνου τοῦ ἀρρήτου
ἐσκίρτων, ἔχαιρον σὺν σοὶ τῷ ποιητῇ καὶ πλάστῃ,
ἀμήχανον κατανοῶν κάλλος τοῦ σοῦ προσώπου.
Ἐπεὶ δὲ πάλιν πρὸς τὴν γῆν κατήγαγον τὸν νοῦν μου,
πεφωτισμένος ὢν ἐν σοί, οὐκ ἔβλεπον τὸν κόσμον
οὐδὲ τὰ ὄντα πράγματα, δέσποτα, ἐν τῷ κόσμῳ,
ἀλλ' ὑπεράνω τῶν παθῶν καὶ μεριμνῶν ὑπῆρχον
καὶ πράγμασι στροβούμενος καὶ τὰ κακὰ ἐλέγχων.
Οὐκ ἐκοινώνουν μὲν τὸ πρὶν κακίαις ἀνθρωπίναις·
ὡς δ' ἐγχρονίσας ἐν αὐτοῖς τὰ ἄλλων προεθέμην
καὶ φιλονείκοις, δέσποτα, συνυπήχθην ἀνδράσιν,
ἐλπίδι διορθώσεως μετέσχον τῆς κακίας
καὶ σκότους, οἴμοι, τῶν παθῶν μετέλαβον ἀφρόνως

D H O R Z — METRUM XV

16 σφραγίδῃ R ‖ ἐπονομάσας+δοῦλον, λόγε, πανάθλιον, ἄσωτόν τε καὶ τάλαν D ‖ 18 κατακαλύψῃ O ‖ 19 συχῇ Z ‖ 34 πράγματι Z ‖ 37 συνηπήχθην DR συναπήχθην Z ‖ ἀνδράσιν συνηπήχθην ∾ D

19. Ps. 68, 15 — 24. I Tim. 6, 16

1. Στροβοῦμαι, cf. GRÉGOIRE DE NAZIANZE, *PG* 35, 1104 A 8.
2. D'après le contexte, il s'agit sans doute des moines indisciplinés de S. Mamas.

et rangé au nombre de tes serviteurs, après m'avoir marqué du sceau de ta grâce et déclaré tien;
ne va pas maintenant me rejeter, ne va pas me cacher
la lumière de ton visage, pour que les ténèbres me recouvrent,
que l'abîme m'engloutisse, que le ciel se referme sur moi,
alors que tu m'avais élevé par-dessus le ciel, mon Sauveur,
et qu'avec les anges, ou plutôt avec toi-même, le Créateur de tout,
tu avais daigné me faire partager ton intimité et ta joie,
voir la gloire incomparable de ton visage,
jouir à satiété de ton inaccessible lumière,
goûter la joie et le bonheur d'une indicible béatitude
en partageant, Maître, ta splendeur inexprimable!
Dans les délices de cette lumière indicible
j'exultais, je me réjouissais en ta compagnie, toi qui m'as créé et façonné,
en saisissant l'inconcevable beauté de ton visage.
Mais quand j'ai eu ramené mon intelligence vers la terre,
baigné que j'étais dans ta lumière, je ne voyais pas le monde
ni aucune, ô Maître, des réalités dans le monde;
au-dessus des passions, au-dessus des soucis,
j'étais ballotté[1] par ces réalités, je critiquais (tous) les vices.
Pour commencer, je n'avais point de part aux défauts des hommes;
mais quand, vivant parmi eux, à la longue, je me suis proposé la responsabilité des autres
et que je me suis laissé entraîner, ô maître, dans leurs querelles[2],
(mû) par l'espoir de leur amendement, j'ai contracté leurs défauts,
j'ai connu à mon tour — malheur à moi, insensé! — l'obscurité des passions,

καὶ κρατηθεὶς ὑπὸ θηρῶν ἀγρίων κινδυνεύω.
Ἄλλους ἐκσπᾶσαι θέλων γὰρ λύμης γε τῆς ἐκείνων
αὐτὸς πρῶτος κατάβρωμα γέγονα τοῖς θηρίοις.
Ἀλλὰ προφθάσας οἰκτειρον, ἀλλὰ ταχύνας ῥῦσαι
τὸν διὰ σέ, φιλάνθρωπε, ἐν τούτοις ἐμπεσόντα!
Κατὰ τὴν σὴν γὰρ ἐντολὴν τέθεικα, ἐλεήμων,
ψυχὴν τὴν παναθλίαν μου ὑπὲρ τῶν ἀδελφῶν μου·
εἰ οὖν ἐτρώθην, δύνασαι ἰάσασθαί με, σῶτερ,
εἰ ἐκρατήθην παρ' ἐχθρῶν, αἰχμάλωτος ὁ τάλας,
ἀλλὰ αὐτὸς ὡς δυνατὸς καὶ ἰσχυρὸς εἰς ἅπαν
ἰσχύεις ἐκλυτρώσασθαι θελήματί σου μόνῳ·
εἰ καὶ θηρίων στόμασι καὶ χερσὶ κατελήφθην,
ἀλλὰ φανέντος θνήξονται εὐθύς, ἐγὼ δὲ ζήσω.
Ναί, ὁ πολὺς ἐν οἰκτιρμοῖς, ἄφατος ἐν ἐλέει,
ἐλέησον, οἰκτείρησον ἐμὲ τὸν πεπτωκότα!
Κατῆλθον ἐν τῷ φρέατι ῥύσασθαι τὸν πλησίον
καὶ συγκατέπεσα κἀγώ, δικαιοκρίτα σῶτερ·
μή με ἐάσῃς κείμενον εἰς τέλος ἐν τῷ βόθρῳ!
Ναί, οἶδα ὡς προσέταξας, πανοικτίρμον Θεέ μου,
ὅτι χρὴ πάντως ῥύεσθαι τὸν ἀδελφὸν θανάτου
καὶ ἁμαρτίας δήγματος, ἀλλ' οὐ δι' ἁμαρτίας
συναπολέσθαι μετ' αὐτοῦ — ὃ πέπονθα ὁ τάλας
καὶ ῥαθυμήσας πέπτωκα ἐμαυτῷ γε θαρρήσας —,
ἀλλὰ κἀκεῖνον ῥύεσθαι καὶ ἐμαυτὸν ὡσαύτως,
εἰ δὲ μή, μένειν ἄνωθεν καὶ θρηνεῖν τὸν πεσόντα
καὶ φεύγειν, ὅση δύναμις, τὸ πεσεῖν σὺν ἐκείνῳ.
Ἀλλ' οὖν καὶ νῦν ἀνάστησον, ἀνάγαγε τοῦ χάους

DHORZ — METRUM XV

52 θνήξονται εὐθύς : σου εὐθὺς θνήξοντ' R ‖ 56 συγνκατέπεσα D ‖ 58 Θεέ μου πανοικτίρμων D ‖ 60 δι' : δὲ O

42. Éz. 34, 5 — 46. I Jn 3, 16 — 53. Ex. 34, 6

et maintenant, tombé au pouvoir des fauves, je suis en danger.
Oui, voulant en arracher d'autres à leurs dents[1],
moi le premier je suis devenu la proie des fauves.
N'attends plus pour avoir pitié de moi, hâte-toi de me délivrer,
puisque c'est à cause de toi, Ami de l'homme, que je suis tombé entre leurs griffes,
c'est à cause de ton commandement, Miséricordieux, que j'ai livré
mon âme, ma très pauvre âme, pour mes frères!
Si j'ai été blessé, tu peux me guérir, Sauveur,
si je suis tombé au pouvoir des ennemis, pauvre prisonnier que je suis,
toi, de ton côté, Puissant et Fort pour tout faire,
tu peux me racheter par ta seule volonté.
Si la gueule, si la griffe des fauves m'a saisi,
tu n'as qu'à paraître et aussitôt ils périront et je vivrai.
Oui, toi qui es riche en miséricorde, ineffable en pitié,
aie pitié, fais miséricorde envers moi après ma chute!
Je suis descendu dans le puits pour en retirer mon prochain
et j'ai été précipité avec lui. Juste Juge, Sauveur,
ne me laisse pas pour toujours gisant dans la fosse!
Oui, je sais ce que tu as prescrit, ô mon Dieu plein de miséricorde :
il faut bien retirer son frère de la mort
et de la morsure du péché, mais non pas périr avec lui
par le (même) péché — ce qui m'est arrivé à moi, malheureux,
tombé par négligence, pour m'être fié à moi-même —,
il faut l'en retirer et moi-même avec lui,
ou sinon rester au bord, gémir sur celui qui est tombé
et éviter de toutes ses forces de tomber avec lui.
Mais maintenant, redresse-moi, fais-moi remonter de l'abîme

1. A leurs dents. Litt. : à la perte où les entraîneraient les premiers (ἐκείνων).

καὶ στῆσον ἐπὶ πέτραν με, Χριστέ, τῶν ἐντολῶν σου
καὶ δεῖξον πάλιν μοι τὸ φῶς, ὃ οὐ χωρεῖ ὁ κόσμος,
ἀλλ' ἔξω κόσμου καὶ φωτὸς ὁρατοῦ καὶ ἀέρος
τοῦ αἰσθητοῦ καὶ οὐρανοῦ αἰσθητῶν τε ἁπάντων
ἀποτελεῖ γε τὸν αὐτό, σῶτερ μου, καθορῶντα·
εἴτε χωρὶς τοῦ σώματος, εἴτε σὺν τούτῳ ὅλως,
μὴ ἐπιστάμενος, Θεέ, κατὰ τὴν τότε ὥραν,
δοκῶ δέ, ὥσπερ ἄϋλος φωστὴρ ὑπάρχων τότε
τῷ κάλλει τε τοῦ νοητοῦ λαμπόμενος ἡλίου,
τὸ ἑαυτοῦ οὐ καθορᾶν ἰσχύει φῶς αἰσθήσει,
ἐκεῖνον μόνον δὲ ὁρᾷ τὸν ἄδυτον φωστῆρα
ἀμήχανον κατανοῶν κάλλος αὐτοῦ τῆς δόξης,
καὶ ἐκπληττόμενος σφοδρῶς καταμαθεῖν οὐκ ἔχει,
οὔτε κατανοήσασθαι τὸν θεωρίας τρόπον,
τὸ πῶς ἢ ποῦ ὁ πανταχοῦ ἀνερμηνεύτως πέλων
ὁρᾶται, περιγράφεται θέλων ἐν τοῖς ἁγίοις.
Τοῦτο δὲ ἴσμεν ἅπαντες τῶν τοιούτων οἱ μύσται,
ὅτι τοῦ κόσμου ἔξωθεν τότε ἐν ἀληθείᾳ
γινόμεθα καὶ μένομεν, ἄχρις αὐτὸ ὁρῶμεν,
καὶ πάλιν εὑρισκόμεθα ἐν σώματι καὶ κόσμῳ.
Μεμνημένοι δὲ τῆς χαρᾶς καὶ τοῦ φωτὸς ἐκείνου
καὶ τῆς γλυκείας ἡδονῆς θρηνοῦμεν καὶ πενθοῦμεν,
ὥσπερ παιδίον νήπιον καθορῶν τὴν μητέρα

D H O R Z — METRUM XV

67 πέτρᾳ D ‖ 71 ἀποτελεῖς D ‖ 77 ὁρᾶν O ‖ 81 ὁ πανταχοῦ > ORZ ‖ 83 οἱ μύσται τῶν τοιούτων ∞ D ‖ 85 μένωμεν DOR ‖ 88 γλυκύας D

67. Ex. 33, 21 72. II Cor. 12, 3

1. Le roc des commandements. Allusion à *Matth.* 7, 24.

2. Avec le corps ou sans le corps, je ne sais. Syméon reprend sans cesse cette phrase de S. Paul qui traduit si bien son expérience personnelle, cf. **13,** 70 ; **25,** 18 ; **40,** 16 et note.

3. Ἄδυτος : sans déclin plutôt qu'inaccessible car φωστήρ, flambeau, est généralement employé pour désigner les astres, cf. *Gen.* 1, 14 et 16.

et tenir debout, Christ, sur le roc de tes commandements[1],
montre-moi de nouveau la lumière que le monde ne peut recevoir,
la lumière qui met en dehors du monde, de la lumière visible, de l'air,
du ciel sensible et de toutes les choses sensibles
celui qui la contemple, ô mon Sauveur!
Qu'il soit en dehors de son corps ou bien même avec son corps[2],
c'est ce qu'il ignore, mon Dieu, sur le moment même,
mais, à mon avis, étant alors comme un flambeau immatériel
et éclairé par la beauté du soleil spirituel,
il ne peut contempler, de façon sensible, sa propre lumière ;
il ne voit que Lui, que le Flambeau sans déclin[3],
saisissant l'inconcevable beauté de Sa gloire[4]
et, dans sa stupeur, il ne peut se rendre compte
ni saisir le mode de contemplation,
ni comment, ni où Celui qui de façon inexprimable est partout présent
se fait voir, se laisse circonscrire, volontairement, dans les saints.
Mais c'est ce que nous savons tous, nous instruits de ces mystères :
alors, en toute vérité, nous sommes en dehors du monde,
nous le sommes et nous le restons, aussi longtemps que nous voyons cette lumière;
après quoi nous nous retrouvons dans notre corps, dans le monde.
Mais au souvenir de cette joie, de cette lumière,
de cette douce volupté, nous nous affligeons, nous nous lamentons,
comme un tout petit enfant, à la vue de sa mère,

4. L'inconcevable beauté de sa gloire, cf. v. 29.

καὶ μεμνημένον γάλακτος γλυκασμοῦ κλαυθμυρίζει,
ἕως ἐκείνου δράξηται καὶ εἰς κόρον θηλάσῃ.
Τοῦτο αἰτούμεθα καὶ νῦν, τοῦτο σε δυσωποῦμεν,
τοῦτο προσπίπτομεν λαβεῖν ἀναφαίρετον, σῶτερ,
ὅπως καὶ νῦν τρεφώμεθα, πανοικτίρμον, ἐκ τούτου
τοῦ ἄρτου τοῦ ἐξ οὐρανοῦ νοητῶς κατιόντος
καὶ πᾶσι τοῖς μετέχουσι ζωῆς μεταδιδόντος,
καὶ ἀπιόντος καὶ πρὸς σὲ τὴν πορείαν ποιοῦντες
συνοδοιπόρον ἔξωμεν, βοηθόν τε καὶ ῥύστην
καὶ σὺν αὐτῷ καὶ δι' αὐτοῦ προσαχθῶμεν σοι, σῶτερ,
καὶ ἐν τῇ κρίσει τῇ φρικτῇ τὰς ἡμῶν ἁμαρτίας
αὐτὸ σκεπάσῃ, δέσποτα, τοῦ μὴ ἐκκαλυφθῆναι
μηδὲ φανῆναι ἅπασιν ἀγγέλοις καὶ ἀνθρώποις,
ἀλλὰ καὶ ἱμάτιον ἡμῖν γένηται λαμπροφόρον
καὶ δόξα καὶ διάδημα εἰς αἰῶνας αἰώνων,
ἀμήν.

D H O R Z — METRUM XV

ἀχώριστον τοῦ τε Πατρὸς καὶ τοῦ Πνεύματος ὄντα.
Σαρκοῦται δὲ τοῦ Πνεύματος ὄντως τῇ ἐπελεύσει
καὶ γίνεται ὅπερ οὐκ ἦν, ἄνθρωπος ὁμοιός μοι,
πλὴν ἁμαρτίας καὶ πάσης ἐκτός γε ἀνομίας,
Θεὸς ὁμοῦ καὶ ἄνθρωπος ὁρώμενος τοῖς πᾶσιν,
ἔχων τὸ Πνεῦμα τὸ Θεῖον αὐτοῦ συνὸν τῇ φύσει,

D (E) F H O R Z — METRUM XV

61 τρίβον : βίον Z ‖ 64 ποτὲ ἐξισχ. : ἐξισχύσειεν FH ‖ τίς ποτὲ : τίς εἰπέ FH ‖ 66 πετώσας O ‖ 73 πανουργὸν Z ‖ 78 ἔκτησεν H ‖ 84 καὶ πάσης : πάσης γε D ‖ γε : τε D ‖ 86 M ! ‖ τὸ¹ > R ‖ τὸ Πνεῦμα > OZ ‖ τὸ θεῖον πνεῦμα ∾ R ‖ τὸ θεῖον ἔχων πνεῦμα τε συνὸν αὐτοῦ τῇ φύσει D

61. Matth. 7, 14 65. II Cor. 12, 3 67. IV Rois 2, 1 s. 68. Gen. 5, 24 69. Hébr. 11, 5 72. Hébr. 1, 14 83. Hébr. 4, 15

(comment) tu m'as rendu sans fatigue et sans misère
la route désagréable, étroite, malaisée pour les humains,
pour tous les humains — ou pour mieux dire impraticable.
Qui donc, en effet, a jamais pu, qui pourra jamais
d'entre les hommes avec son corps parvenir au ciel
ou même sans son corps[1]? — volant avec quelles ailes?
Élie fut enlevé sur un char de feu, et avant lui
Hénoch[2] : mais pas dans les cieux, dans un autre lieu,
ni non plus par (leurs) propres forces, même s'il est vrai
qu'ils furent transportés ;
mais qu'est-ce que cela à côté de ce qui se passe en nous?
Quelle comparaison établir de l'ombre à la réalité
ou encore — dis-moi — d'un esprit subordonné et voué à
notre service
à l'esprit du Maître, Esprit tout-puissant et divin
qui affermit et fortifie toute essence créée?
Car tous les autres sont son œuvre, lui et lui seul leur auteur,
en tant qu'(Esprit), inséparable du Père aussi bien que du
Fils.
Les trois sont Dieu, car la Trinité est un seul Dieu.
C'est elle qui a donné l'être à l'Univers, elle qui a créé toutes
choses,
elle qui, selon la chair, a créé dans le monde
pour notre salut le Verbe et Fils du Père,
inséparable à la fois du Père et de l'Esprit.
Il prend chair réellement par la venue de l'Esprit
et devient ce qu'il n'était pas, homme semblable à moi,
à l'exception toutefois du péché et de toute iniquité :
Dieu et homme à la fois, visible à tous les yeux,
possédant l'Esprit divin qui lui est uni par nature,

1. Cf. **49,** 72 et note.
2. Élie est déjà présenté comme un modèle de la vie mystique en **30,** 104. Il y est rapproché de Moïse, car il s'agit de la vision de Dieu. Ici il accompagnera Hénoch, car il s'agit du passage dans les cieux.

μεθ' οὗ νεκροὺς ἐζώωσε, τυφλῶν ἤνοιξε κόρας,
λεπρούς τε ἐκαθάρισε δαίμονας ἀπελάσας.
Οὗτος σταυρὸν ὑπενεγκὼν καὶ θάνατον ὡσαύτως
ἐξαναστὰς ἐν Πνεύματι ἀνελήφθη ἐν δόξῃ
καὶ τρίβον τὴν εἰς οὐρανοὺς ἐνεκαίνισε πᾶσι
τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐν ἀδιστάκτῳ πίστει,
καὶ Πνεῦμα τὸ Πανάγιον ἐξέχεε πλουσίως
εἰς πάντας τοὺς δεικνύοντας τὴν πίστιν ἐκ τῶν ἔργων
καὶ νῦν ἀφθόνως τοῦτο γε ἐκχεῖ πρὸς τοὺς τοιούτους,
θεοποιεῖ τε δι' αὐτοῦ, οἷς συναφθῇ ἀθρόον,
καὶ ἐξ ἀνθρώπων ἀλλοιοῖ τούτους ἀναλλοιώτως
καὶ τέκνα δείκνυσι Θεοῦ, ἀδελφοὺς τοῦ σωτῆρος,
συγκληρονόμους μὲν Χριστοῦ, Θεοῦ δὲ κληρονόμους,
θεοὺς Θεῷ συνόντας γε Πνεύματι ἐν Ἁγίῳ,
δεσμίους μὲν μόνῃ σαρκί, πνεύματι δ' ἐλευθέρους,
συνανιόντας τῷ Χριστῷ εἰς οὐρανοὺς εὐκόλως,
ὅλον τε τὸ πολίτευμα κεκτημένους ἐκεῖσε
ἐν θεωρίᾳ τῶν καλῶν, ὧν ὀφθαλμοὶ οὐκ εἶδον.
Τί οὖν τὸ ἅρμα τοῦ πυρός, τὸ Ἠλίαν ἁρπάσαν,
τίς ἡ Ἐνὼχ μετάθεσις ὑπάρχουσι πρὸς ταῦτα ;
Ἐγὼ δοκῶ· ὡς θάλασσα τμηθεῖσα ῥάβδῳ πάλαι
καὶ μάννα ἐκ τοῦ οὐρανοῦ κατελθόν, τύπος μόνον
καὶ ἀληθείας σύμβολα ταῦτα πάντως ὑπῆρχον·
— ἡ θάλασσα βαπτίσματος, τὸ μάννα τοῦ σωτῆρος —,

D (E) F H O R Z — METRUM XV

87 ἐζώωσεν D ‖ 90 ἐν δόξῃ ἀνελήφθη ∾ D ‖ 91 ἀνεκαίνισε O ‖ 95 γε τοῦτο ∾ OZ ‖ 96 δὴ αὐτοὺς H ‖ 100 ἐν Πνεύματι ∾ D ‖ 101 μόνῃ μὲν ∾ D ‖ 103 ἐκεῖσε κεκτιμένους D ‖ 105 τὸ[2] : τὸν F ‖ 109 πάντα FHZ

88. Matth. 10, 8 — 90. I Tim. 3, 16 — 91. Hébr. 10, 20 — 93. Tite 3, 6 — 94. Jac. 2, 18 — 98-99. Rom. 8, 16 s. — 103. Phil. 3, 20 — 104. I Cor. 2, 9 — 105. IV Rois 2, 1 s. — 106. Gen. 5, 24 — 107. Ex. 14, 16 — 108. Ex. 16, 33. Jn 6, 32 — 109. I Cor. 10, 6

avec lequel il a rendu la vie aux morts, ouvert les pupilles des aveugles,
purifié les lépreux et expulsé les démons.
C'est lui qui a souffert la croix ainsi que la mort,
et qui est ressuscité dans l'Esprit, a été élevé dans la gloire
et a frayé une voie nouvelle vers les cieux pour tous ceux qui croient en lui d'une foi sans défaillance,
lui qui a répandu à profusion l'Esprit très saint sur tous ceux qui montraient leur foi par leurs œuvres,
lui qui, maintenant encore, le répand sans compter sur ceux qui font de même,
lui qui, par cet Esprit, déifie sur-le-champ[1] ceux à qui il s'est uni
et, d'hommes (qu'ils étaient), les transforme sans les changer
et les fait devenir enfants de Dieu, frères du Sauveur,
cohéritiers du Christ et héritiers de Dieu,
dieux (eux-mêmes) dans la compagnie de Dieu, dans l'Esprit-Saint,
prisonniers sans doute par la chair, mais elle seule, et libres en esprit,
s'élevant avec le Christ sans peine dans les cieux
et ayant là-haut tous leurs droits de cité
dans la contemplation des biens que les yeux n'ont pas vus.
Qu'est-ce donc que le char de feu qui enleva Élie,
qu'est-ce que la translation d'Hénoch, en comparaison de ces réalités?
A mon avis, de même que jadis la mer fendue par la baguette (de Moïse)
et la manne descendue du ciel étaient seulement la figure
et les symboles de la vérité, et rien d'autre,
— la mer, du baptême et la manne, du Sauveur —,

1. Ἀθρόον dans le sens adverbial : sur-le-champ, aussitôt, comme au v. 127.

οὕτω κἀκεῖνα σύμβολα τούτων εἰσὶ καὶ τύπος,
ἀσύγκριτον ὑπεροχὴν κεκτημένων καὶ δόξαν,
ὅσον κτιστοῦ τὸ ἄκτιστον ὑπερέχει τῇ φύσει.
Τὸ μάννα γάρ, ὃ λέγεται ἄρτος, τροφὴ ἀγγέλων,
ὃν ἔφαγον οἱ ἄνθρωποι ἐν τῇ ἐρήμῳ τότε,
ἐξέλιπεν, ἀπώλετο, ἀπέθανόν τε πάντες
καὶ ὅσοι τοῦτο ἔφαγον· ζωῆς γὰρ οὐ μετεῖχεν.
Ἡ σὰρξ δὲ τοῦ δεσπότου μου τεθεωμένη οὖσα,
ζωῆς μεστή τε πέλουσα πάντας ζωῆς μετόχους
τοὺς τρώγοντας ἀποτελεῖ καὶ ποιεῖ ἀθανάτους·
διαβιβάζει τε αὐτοὺς οὐ πέλαγος θαλάσσης,
οὐδ' ἐξ Αἰγύπτου μεθιστῶν πρὸς ἄλλην γῆν μετάγει
φθαρτοὺς καρποὺς προφέρουσαν καὶ αὖθις τοῖς ἀνθρώποις,
ἀλλ' οὐδὲ τεσσαράκοντα ἐπὶ χρόνοις βαδίζειν
διακελεύεται ἡμᾶς ὁ λυτρωτὴς τοῦ κόσμου,
ἵνα καὶ καταλάβωμεν γῆν τῆς ἐπαγγελίας,
ἀλλ' ἀδιστάκτῳ πίστει γε βαπτισθέντας ἀθρόον,
αἵματός τε καὶ τῆς αὐτοῦ σαρκὸς μεταλαβόντας
ἀπὸ θανάτου εἰς ζωήν, εἰς φῶς τε ἀπὸ σκότους,
ἀπὸ τῆς γῆς εἰς οὐρανοὺς ἀναφέρει εὐθέως.
Πρότερον ἀπεκδύσας με φθορᾶς καὶ τοῦ θανάτου
καὶ ὅλον ἐλευθερώσας με ἐν αἰσθήσει καὶ γνώσει,
— τὸ δὲ πάντων φρικτότερον — οὐρανὸν καινὸν ἔδειξέ με
καὶ ἐν ἐμοὶ κατῴκησεν ὁ τῶν ἁπάντων κτίστης,

D (E) F H O R Z — METRUM XV

112 κεκτημένος H ‖ 113 τῇ φύσει ὑπερέχει ∾ D ‖ 115 ὃν : ὃ Z ‖ 116 ἐξέλιπον Z ‖ ἀπώλοντο Z ‖ 117 μετεῖχον OZ ‖ 121 τε : δὲ ORZ ‖ 123 καρποὺς φθαρτοὺς ∾ ORZ ‖ προσφέρουσαν R ‖ 127 γε > ORZ ‖ 132 M ! ‖ καὶ¹ > D ‖ 133 M ! ‖ πάντων δὲ ∾ D ‖ καινὸν > R ‖ οὐρανὸν — με : καὶ θαυμαστὸν καὶ ξένον νῦν καινὸν ἄλλον οὐρανὸν παμφαῆ ἔδειξέ με D ‖ 134 κατῴκισεν Z

114. Sag. 16, 20 115. Jn 6, 49 s. 120. Jn 6, 54 124. Ex. 16, 35 126. Hébr. 11, 9 128. Jn 6, 53 129. I Jn 3, 14. I Pierre 2, 9 133. Is. 65, 17

de même les choses dont nous parlons sont les symboles et la figure
de ces (réalités) douées d'une transcendance et d'une gloire incomparables,
dans la mesure où l'incréé transcende par nature ce qui est créé.
Cette manne, en effet, qui est appelée « pain et nourriture des anges »,
qu'en ce temps-là les hommes mangèrent dans le désert,
a cessé, a disparu et tous sont morts,
oui, tous ceux qui en avaient mangé : car elle ne participait pas de la (vraie) vie
— tandis que la chair de mon Maître, étant divinisée
et emplie de la vie, fait participer à la vie
tous ceux qui la mangent, et les rend immortels.
Ce ne sont pas les abîmes de la mer qu'Il leur fait traverser,
ce n'est pas d'Égypte qu'il les fait sortir pour les transporter vers une autre terre
qui produisait elle aussi pour les hommes des fruits corruptibles,
ce n'est pas non plus quarante ans qu'il nous ordonne
de marcher, le Rédempteur du monde,
pour nous faire occuper la terre de la promesse :
mais, sitôt baptisés avec une foi sans défaillance
et ayant communié à son sang et à sa chair,
il nous fait passer aussitôt de la mort à la vie,
des ténèbres à la lumière et de la terre aux cieux.
Il a commencé par me dépouiller de la corruption et de la mort,
par me rendre entièrement libre sensiblement et consciemment,
et — mystère plus redoutable que tous (les autres) — il a fait de moi un nouveau ciel
et a fixé sa demeure en moi, lui le Créateur de tout,

οὔπερ οὐδεὶς τῶν πρόπαλαι ἁγίων ἠξιώθη.
Ἐλάλει γὰρ τὸ πρότερον διὰ Πνεύματος Θείου
καὶ ἐνεργείᾳ τῇ αὐτοῦ τὰ θαύματα ἐποίει,
οὐσιωδῶς δὲ οὐδαμῶς τινι Θεὸς ἠνώθη
πρὸ τοῦ γενέσθαι ἄνθρωπον τὸν Χριστὸν καὶ Θεόν μου.
Λαβὼν γὰρ σῶμα δέδωκεν αὐτοῦ Πνεῦμα τὸ Θεῖον,
οὐσιωδῶς ἑνοῦται δὲ δι' αὐτοῦ πιστοῖς πᾶσι
καὶ γίνεται ἀχώριστος ἡ ἕνωσις ἡ τούτων.
Φεῦ μοι ! — στενάζω γὰρ πικρῶς τὴν τῶν ἀνθρώπων πλάνην —.
Πῶς οὐ πιστεύομεν Χριστῷ, πῶς οὐκ ἀκολουθοῦμεν,
πῶς οὐ ποθοῦμεν τὴν ζωήν, πῶς τὸν ἐκείνου πλοῦτον
τὸν ἄσυλον, τὸν ἄφθαρτον, τὴν δόξαν τὴν ἀγήρω
διαγωγῆς τῆς μετ' αὐτοῦ, πῶς οὐκ ἐπιθυμοῦμεν ;
Πῶς τοῖς φθαρτοῖς προσκείμενοι νομίζομεν σωθῆναι,
οἱ μὴ φιλοῦντες τὸν Χριστὸν πλεῖον τῶν ὁρωμένων
μηδὲ ἐλπίζοντες αὐτῷ συνεῖναι μετὰ πότμον ;
ἀλλὰ ἀναισθητότεροί εἰσι ξύλων τε καὶ τῶν λίθων.
Ἀλλ', ὦ Χριστέ μου, ῥῦσαι με τῆς τούτων ἀλογίας
καὶ σὲ φιλεῖν ἐκδίδαξον, τὴν ζωὴν πιστῶν πάντων !
Σοὶ γὰρ σὺν τῷ Πατρὶ καὶ Πνεύματί σου Θείῳ
δόξα πρέπει καὶ αἶνεσις, τιμὴ προσκύνησίς τε
νῦν καὶ ἀεὶ ὡς βασιλεῖ εἰς αἰῶνας αἰώνων,
καὶ τῶν ἁπάντων ποιητῇ, Θεῷ τε καὶ δεσπότῃ,
ἀμήν.

D (E) F H O R Z — METRUM XV

135 ὅπερ D ‖ 138 τινι > O ‖ Θεὸς+ἡμῖν Z ‖ 144 ἀκουλουθοῦμεν D ‖ 148 προσκείμεθα H ‖ 151 M ! ‖ ἀλλὰ > D ‖ 154 M ! ‖ γὰρ+λόγε D ‖ 157 Σ στίχοι ρνη' D ‖ Σ στίχοι ρνς' H

136. II Pierre I, 21

(faveur) dont nul parmi les saints des anciens temps ne fut jugé digne.
Jadis, en effet, il parlait par l'intermédiaire de l'Esprit divin
et par l'opération de Celui-ci réalisait ses merveilles,
mais jamais, au grand jamais, Dieu ne s'est substantiellement[1] uni à personne
avant que ne fut devenu homme le Christ mon Dieu :
c'est Lui qui, ayant pris un corps, a donné son Esprit divin[2]
et, par lui, s'unit substantiellement à tous les croyants,
et il se fait entre eux une union inséparable.
Hélas! oui, je me lamente amèrement sur l'égarement des hommes!
Comment ne croyons-nous pas au Christ, comment ne le suivons-nous pas!
comment ne désirons-nous pas la vie! comment sa richesse,
richesse inviolable, incorruptible, gloire inaccessible
du séjour en sa compagnie n'est-elle pas tout notre désir?
Comment, attachés aux choses corruptibles, nous figurons-nous être sauvés,
alors que nous n'aimons pas le Christ plus que les choses visibles,
que nous n'espérons pas lui être unis après le trépas?
Hommes plus dénués de sens que le bois et la pierre!
Eh bien, ô mon Christ, arrache-moi à leur folie,
apprends-moi à t'aimer, toi la vie de tous les fidèles!
A Toi, en effet, avec le Père et ton Esprit divin,
appartiennent gloire et louange, honneur et adoration,
maintenant et toujours, comme au Souverain, pour les siècles des siècles,
comme au Créateur de l'Univers, son Dieu et son Maître.
Amen.

1. Sur cette union substantielle, essentielle, cf. **44,** 154 et la note.
2. Cf. **44,** 345.

LII

Περὶ θεολογίας· καὶ ὅτι τῷ μὴ ἀλλοιωθέντι τῇ τοῦ Ἁγίου Πνεύματος μετουσίᾳ καὶ γεγονότι θέσει ἐν γνώσει Θεῷ διδάσκειν τὰ θεῖα τοὺς ἀνθρώπους οὐκ ἔξεστι

Τίς μου παραμυθήσεται τὸν πόνον τῆς καρδίας ;
Πόνον δ' εἰπὼν ἐδήλωσα τὸν τοῦ σωτῆρος πόθον,
ὁ πόθος δὲ τοῦ Πνεύματος ἐνέργεια τυγχάνει,
μᾶλλον δ' αὐτοῦ οὐσιωδῶς ἐστὶν ἡ παρουσία,
ἐνυποστάτως ἐν ἐμοὶ φῶς ἐντὸς ὁρωμένη·
τὸ φῶς δ' ἀσύγκριτόν ἐστιν, ὅλον ἄφθεγκτον πέλει.
Τίς με χωρίσει αἰσθητῶν, ὧν ἀπηλλάγην ἅπαξ
καὶ ἀπεκρύβην ἐξ αὐτῶν γεγονὼς ἔξω κόσμου ;
Τίς μοι δώσει γαλήνην γε καὶ ἡσυχίαν πάντων,
ἵνα τοῦ κάλλους κορεσθῶ καὶ τῆς ἐκείνου θέας,

D (E) F H O R Z — METRUM XV

Tit. Περὶ θεολογίας καὶ > R ‖ τοῦ αὐτοῦ [ὅτι+R ‖ μετουσίᾳ τοῦ ἁγίου πνεύματος ∾ R ‖ καὶ γεγονότι — Θεῷ > R ‖ ἐν γνώσει θέσει ∾ D ‖ Θεοῦ F ‖ τοὺς ἀνθρώπους τὰ θεῖα ∾ O ‖ ἔξεστιν DOR ‖ Σ ἴδε λόγον νε' Z ‖ 9 καὶ > H ‖ 10 κορεστῶ DFH ‖ Σ ὅρα τοὺς θείους ἔρωτας τοῦ ἁγίου (ἁγίου > DO) πατρός DHO

---

1. Syméon n'a qu'un désir : se rassasier de la beauté et de la vision de ce Dieu, ce Dieu insaisissable mais aussi saisissable car ceux qui ont été engendrés par l'Esprit voient Dieu leur père. Telle est la foi (1-81). Mais ceux qui demeurent loin de la contemplation de Dieu ne sauraient parler de Dieu. Aveugles, ils ne cherchent pas la gloire de Dieu mais la leur, refusant de partager les souffrances du Christ (82-153). Cet Hymne constitue les 144 premiers vers du n° 47 de l'édition de Zagoraios (cf. *Introd.*, *SC* 156, p. 20). Il porte le n° 37 dans Pontanus, *PG* 120, 592 A - 594 C.

2. A propos de cet Hymne, une note dans Z renvoie au λόγος 55. S'agit-il de la poésie qui porte ce n° dans l'édition de Z, c'est-à-dire l'hymne avant la communion, d'authenticité douteuse, que l'on trouve dans *PG* 96, 853-856 (cf. *Introd.*, p. 21) ou du λόγος 55 des œuvres en prose, c'est-à-dire de la Catéchèse **10** ? Il est difficile de trancher.

3. Οὐσιωδῶς, cf. **51**, 138 ; **44**, 345.

LII

Sur la théologie ; que celui qui n'a pas été transformé par la participation au Saint-Esprit et n'est pas consciemment devenu dieu par adoption, n'a pas le droit d'enseigner aux hommes les choses de Dieu[1].

Qui donc consolera la peine de mon cœur[2] ?
mais en disant « la peine », c'est l'amour du Sauveur que je voulais dire ;
or l'amour est une opération de l'Esprit
ou plutôt sa présence même, qui, essentiellement[3]
et substantiellement, se fait voir en moi (comme) lumière ;
c'est une lumière incomparable, elle est totalement inexprimable.
Qui me séparera des choses sensibles, dont j'ai été une bonne fois libéré,
que j'ai quittées pour disparaître et devenir étranger au monde ?
Qui me donnera la sérénité et le repos par rapport à tout,
afin que je me rassasie de Sa beauté et de Sa vision ?

οὗ τὸ ἀκατανόητον ἀναφλέγει τὸν πόθον,
ὁπόσον δὲ καταληπτόν, ἐνυπόστατος πόθος.
Ἀγάπη γὰρ οὐκ ὄνομα, ἀλλὰ οὐσία θεία,
μεταληπτὴ καὶ ἄληπτος, θεϊκὴ δέ γε πάντως·
τὸ μεθεκτὸν καταληπτόν, τούτου τὸ πλεῖον οὔπω.
Διὰ τοῦτο οὖν εἶπον σοι καταληπτὸν τὸν πόθον
καὶ ἐνυπόστατον αὐτὸν ὡς μεθεκτὸν ληπτόν τε·
πᾶν γὰρ ληπτὸν καὶ μεθεκτὸν οὐσία πάντως πέλει
ἐνυποστάτως μεθεκτή, ὡσαύτως καὶ ληπτή τε.
Τὸ γὰρ ἀνούσιον οὐδὲν καὶ λέγεται καὶ ἔστιν,
ἡ θεία δὲ καὶ ἄκτιστος ὑπερούσιος φύσις
ὡς τῆς οὐσίας τῶν κτιστῶν ὑπερέχουσα πάντων
καλεῖται ὑπερούσιος, πλὴν ἐνούσιος πέλει
καὶ ἐνυπόστατός ἐστιν, ὑπὲρ οὐσίαν πᾶσαν,
καὶ πρὸς ὑπόστασιν κτιστὴν ἀσύγκριτός γε πάντῃ
νοεῖται, ἔστιν ὅλη γὰρ ἀπερίγραπτος φύσει·
τὸ μὴ περιγραφόμενον ὑπόστασιν πῶς εἴπῃς;
Τὸ δ' ἀνυπόστατον οὐδέν — καὶ πῶς μεταληπτόν μοι;
Εἰ δ' ἀπιστεῖς, τὸν Παῦλον σοι μαρτυροῦντα παρέξω
καὶ τὰ ἀμφότερα πιστὰ εἶναι σοὶ βεβαιοῦντα·
ὅταν γὰρ λέγῃ τὸν Χριστὸν ἐντὸς ἔχειν λαλοῦντα

D (E) F H O R Z — METRUM XV

12 καληπτόν Z ‖ 14 πάντῃ F ‖ 25 ἀσύγκριτόν H ‖ 26 ἔστι OZ ‖ γὰρ ὅλη ∾ ORZ ‖ καὶ γὰρ ὅλη ἔστιν R ‖ 27 εἴποις Z ‖ 28 οὐδὲ H ‖ 29 παρέξω μαρτυροῦντα ∾ D ‖ παράξω FH

13. I Jn 4, 16 — 31 s. II Cor. 13, 3

1. Identification entre l'amour et l'Esprit-Saint, cf. **17,** 236 et la scholie à ce vers.

2. Dieu n'est rien de ce que nous connaissons, cf. **50,** 72 s. Il est suressentiel, cf. **24,** 12 ; **31,** 6. Cf. l'article de Mgr B. KRIVOCHÉINE, cité en **44,** 154, note.

3. C'est le sujet que Syméon traite dans H. **35.** Dieu se communique à l'homme, mais dans la mesure où l'homme peut le recevoir. On peut donc à la fois affirmer que dès ici-bas l'homme peut voir Dieu et que nul n'a jamais vu Dieu.

ce qu'il y a en lui d'incompréhensible enflamme mon amour
et tout ce qui est saisissable, est amour substantiel.
Car la Charité n'est pas un nom, c'est l'essence même de Dieu[1],
(à la fois) participable et insaisissable, mais de toute façon divine;
ce qui peut se communiquer est participable, mais ce qui est au-delà ne l'est pas encore.
Voilà donc pourquoi je t'ai dit que l'amour est saisissable,
et qu'il est substantiel en tant que communicable et saisissable.
car tout ce qui est saisissable et communicable est à coup sûr une essence
substantiellement communicable et de la même façon saisissable.
Car ce qui est dépourvu d'essence, on l'appelle rien, ce n'est rien,
mais la nature suressentielle, (la nature) divine et incréée,
c'est en tant qu'elle transcende l'essence de tous les êtres créés
qu'elle est appelée suressentielle[2]; toutefois elle possède une essence,
elle est substantielle, au-dessus de toute essence,
et par rapport à une substance créée, elle est conçue comme absolument
incomparable, car elle est tout entière incirconscriptible par nature.
Mais ce qui n'est pas circonscrit, comment l'appeler une substance?
et ce qui est sans substance n'est rien, comment donc me serait-il communicable?
Si tu ne me crois pas, je te citerai le témoignage de Paul
qui t'affirmera que les deux choses sont dignes de foi[3].
En effet, quand il dit posséder en lui-même le Christ qui parle

καὶ Πνεύματι φθεγγόμενον αὐτὸν τῷ Παναγίῳ,
μεταληπτόν, περιγραπτὸν εἶναι λέγει τὸ θεῖον,
ἀπεριγράπτως ἐν αὐτῷ συμπαρὸν καὶ ἀλήπτως.
Ὅταν δὲ φῶς ἀπρόσιτον οἰκοῦντα παρεισάγῃ
καὶ μαρτυρῇ μηδέποτε ὑπ' ἀνθρώπου ὀφθῆναι,
τότε τὸ ἀπερίγραπτον καὶ ἄληπτον ἐμφαίνει·
ὃ γὰρ οὐδεὶς ἑώρακε πώποτε τῶν ἀνθρώπων,
πῶς ἢ μετέλαβεν αὐτοῦ ἢ προσέψαυσεν ὅλως;
πάντως ἐρεῖς μοι· οὐδαμῶς, εἰ μὴ φιλονεικοίης.
Ὅταν δὲ πάλιν εἴπῃ σοι· Ὁ Θεός, ὁ ἐκ σκότους
φῶς λάμψαι πάλαι προειπών, ὃς ἔλαμψεν ἐντός μου,
ποῖον σοι ἄλλον παριστᾷ Θεόν, εἰπέ, νοῆσαι,
εἰ μὴ ἐκεῖνον τὸν τὸ φῶς τὸ ἄστεκτον οἰκοῦντα
καὶ ὃν οὐδέπω οὐδαμῶς οὐδεὶς ἀνθρώπων εἶδεν;
Αὐτὸς γὰρ ὑπερούσιος ἄκτιστος ὢν τὸ πρόσθεν
σάρκα τε ἀνελάβετο καὶ κτιστός μοι ὡράθη,
ὅλον θεώσας με αὐτὸς τὸν προσληφθέντα ξένως.
Οὕτω πιστεύεις, λέγε μοι, καὶ πάντως οὐ διστάζεις;
Εἰ οὖν Θεὸς γενόμενος ἄνθρωπος, ὡς πιστεύεις,
τὸν ἄνθρωπον ἐθέωσεν ἐμὲ τὸν προσληφθέντα,
θέσει θεὸς γενόμενος τὸν φύσει Θεὸν βλέπω
ἐκεῖνον, ὃν οὐδείς ποτε ἀνθρώπων ἠδυνήθη
ἰδεῖν, ἀλλ' οὐδὲ δύναται ὅλως τοῦ κατιδέσθαι.
Τὸν Θεὸν οὖν οἱ δεξάμενοι τῆς πίστεως τοῖς ἔργοις
καὶ θεοὶ χρηματίσαντες Πνεύματι γεννηθέντες,
αὐτὸν ἐκεῖνον βλέπουσι τὸν ἑαυτῶν πατέρα,
τὸν ἐνοικοῦντα τῷ φωτὶ ἀεὶ τῷ ἀπροσίτῳ·

D (E) F H O R Z — METRUM XV

32 αὐτῷ R ‖ 36 ὠφθῆναι ὑπ' ἀνθρώπου D ‖ 38 ἑώρακεν D ‖ 42 πάλαι > FH ‖ 48 ὅλος R ‖ 49 διστάσεις F διστάξεις H ‖ 50 Σ ὡραῖον ὅλον D ‖ 53 ποτε : πώποτε ORZ ‖ ἀνθρώπων bis habet D ‖ ἐδυνήθη F ‖ 55 M ! ‖ τῆς : τοῖς R ‖ 57 ἑαυτῶν : ἑαυτὸν O ἐμαυτὸν R ἑαυτοῦ Z

35 s. I Tim. 6, 16 — 41-42. II Cor. 4, 6 — 45. I Tim. 6, 16
54. id. — 56. Jn 3, 5 — 58. I Tim. 6, 16. II Cor. 6, 16

et qui s'exprime en personne par l'Esprit très Saint,
il dit que la divinité peut être participée, circonscrite,
mais qu'en lui et avec lui elle est présente sans se laisser
circonscrire ou saisir.
Lorsqu'en revanche il Le présente comme habitant une
lumière inaccessible
et atteste qu'Il n'a jamais été vu par un homme,
alors il fait ressortir son caractère incirconscriptible et
insaisissable,
car à celui que nul n'a jamais vu d'entre les hommes
comment aurait-il eu part? comment l'aurait-il seulement
frôlé?
Impossible! me diras-tu à coup sûr, si tu ne veux pas
ergoter.
Quand, d'autre part, il te dit : « Dieu, qui jadis a dit
à la lumière de briller du sein des ténèbres, lui qui a brillé
en moi... »,
quel autre Dieu, dis-moi, t'invite-t-il à concevoir,
sinon celui-là même qui habite la lumière insoutenable
et que jamais encore, nul absolument des hommes n'a vu.
Car c'est lui qui, suressentiel et incréé auparavant,
a pris chair et s'est montré à moi comme créature
en me divinisant totalement, moi qu'il a assumé de façon
merveilleuse.
C'est bien ce que tu crois, dis-moi, tu n'as absolument aucun
doute?
Si donc Dieu, devenu homme, comme tu le crois,
m'a divinisé, moi l'homme assumé,
(alors) devenu dieu par adoption, je vois le Dieu par nature,
ce Dieu que nul jamais d'entre les hommes n'a pu
voir, que nul ne peut tant soit peu contempler.
Donc ceux qui ont reçu Dieu grâce aux œuvres de la foi
et ont mérité le nom de dieux, engendrés par l'Esprit,
oui, lui-même, ils le voient, lui leur Père
qui ne cesse d'habiter la lumière inaccessible;

ἔνοικον ἔχοντες αὐτοὶ ἐν ἑαυτοῖς οἰκοῦντα
οἰκοῦσιν αὐτοὶ γ' ἐν αὐτῷ τῷ πάμπαν ἀπροσίτῳ.
Τοῦτο πίστις ἡ ἀληθής, τοῦτο Θεοῦ τὸ ἔργον,
τοῦτο σφραγὶς Χριστιανῶν, τοῦτο μέθεξις θεία,
τοῦτο ἐστὶν ἡ μετοχὴ καὶ ἀρραβὼν ὁ θεῖος,
τοῦτο ὑπάρχει ἡ ζωή, τοῦτο ἡ βασιλεία,
τοῦτο τὸ ἔνδυμά ἐστιν, ὁ χιτὼν τοῦ κυρίου,
ὅπερ οἱ βαπτιζόμενοι ἐπενδύονται πίστει,
οὐχὶ ἀγνοίᾳ, λέγω σοι, οὐδὲ ἀναισθησίᾳ,
ἀλλὰ διὰ τῆς πίστεως ἐν αἰσθήσει καὶ γνώσει.
Ἵνα μὴ λέγῃς· Τὸν Χριστὸν ἐνδεδύσθαι πιστεύω!
οὐ λέγω· Τοῦτο πίστευε! ἀλλά· Πίστεως ἔργον
καὶ πίστεως βεβαίωσιν καὶ πίστεως σφραγίδα
καὶ πίστεως τελείωσιν ἀναμφίβολον ἔχε
ἐκ τοῦ ἐνδύσασθαι Χριστὸν ἐν αἰσθήσει καὶ γνώσει
ἐκλάμποντα, ἀστράπτοντα θεότητος τῇ δόξῃ
καὶ τρανοτάτῳ ἐν φωτὶ ὅλον σε ἀλλοιοῦντα,
ἀναλλοιώτως μένοντα διπλοῦν ἐξ ἑκατέρων,
θέσει Θεόν, τῇ φύσει δὲ ἄνθρωπον ὅλον ὄντα!
Τοιοῦτος δὲ γενόμενος ὅλος, καθώς σοι εἶπον,
τότε ἐλθὲ καὶ σὺν ἡμῖν στῆθι, ὦ ἀδελφέ μου,
ἐπ' ὄρους θείας γνώσεως, θείας τε θεωρίας,
καὶ ἀκουσόμεθα ὁμοῦ πατρικῆς φωνῆς — οἴμοι,
ὁπόσον ἀπολείπομεν τῆς θεϊκῆς ἀξίας,
ὁπόσον δὲ ἀπέχομεν ζωῆς τῆς αἰωνίου!
Ὅσον ἀπέχει οὐρανὸς τῶν γῆς καταχθονίων

D (E) F H O R Z — METRUM XV

59 αὐτὸν RZ ‖ 60 γε FH ‖ τῷ > R ‖ πάμπαν+φῶς R ‖ 61 ἡ > H ‖ 69 ἐνδεδύσται H ἐνδεδύσασθαι OR ‖ 70 τούτῳ D ‖ 71 > RZ ‖ 77 ὅλον ἄνθρωπον ∽ F ‖ 79 στῆθι : γενοῦ ORZ ‖ 81 καὶ ἀκουσώμεθα πατρικῆς ὁμοῦ φωνῆς καὶ δόξης, οἴμοι R

62. II Cor. 1, 22 — 65. Matth. 22, 11 — 66 et 69. Gal. 3, 27
79. Ex. 34, 2 — 81. II Pierre 1, 18 — 84. Is. 55, 9

1. Je ne te dis pas : « Crois cela ». Syméon exige une foi consciente et qui se manifeste par les œuvres. Il ne veut pas d'une foi qui rejette à plus tard la divinisation du chrétien, qui ne changerait pas notre existence dès ici-bas. C'est à cette foi qu'il s'opposait déjà en H. **17,** 558-560 et **50,** 172-176.

ils l'ont en eux-mêmes, habitant à demeure,
et eux-mêmes habitent en lui, l'absolument inaccessible.
Voilà la foi véritable, voilà l'œuvre de Dieu,
voilà le sceau des chrétiens, voilà la communion avec Dieu,
voilà la participation, voilà les arrhes divines,
voilà en quoi consiste la vie, voilà le Royaume,
voilà le vêtement, la robe du Seigneur
que les baptisés revêtent par la foi,
et non pas à leur insu, je te le dis, ni inconsciemment,
mais grâce à la foi, sciemment et consciemment.
Et pour que tu n'ailles pas dire : « Je crois que j'ai revêtu le Christ »,
je ne te dis pas : « Crois cela[1] », mais : « Possède l'œuvre de la foi,
la confirmation de la foi, le sceau de la foi,
la perfection de la foi », possède-les sans équivoque
parce que tu auras revêtu le Christ sciemment et consciemment,
(le Christ) qui brille, qui fulgure dans la gloire de la divinité
et qui dans une lumière très claire te transforme tout entier
en te laissant sans transformation (mais) double, puisque tu es l'un et l'autre :
dieu par adoption mais par nature tout entier homme.
Une fois tout entier devenu tel que je viens de le dire,
alors viens et tiens-toi avec nous, ô mon frère,
sur la montagne de la connaissance divine, de la contemplation divine,
et ensemble nous entendrons la voix du Père — ô terreur!
Autant nous sommes distants de la dignité divine,
autant nous sommes loin de la vie éternelle;
autant le ciel est éloigné des profondeurs souterraines

καὶ τῶν ἐκεῖσε δυστυχῶς πάλαι κεκρατημένων,
τοσοῦτον ἢ καὶ πλέον γε ἀπέχομεν οἱ πάντες
ὄντως ἀξίας τοῦ Θεοῦ καὶ θείας θεωρίας,
κἂν σὺν ἐκείνῳ κατοικεῖν λέγωμεν παραδόξως
καὶ τὸν οἰκοῦντα ἐν φωτὶ τῷ ἀπροσίτῳ ἔχειν
ἐν ἑαυτοῖς καὶ μένοντα καὶ κατοικοῦντα ὅλον·
καὶ θέλομεν καθήμενοι ἐν τοῖς καταχθονίοις
φιλοσοφεῖν τὰ ὑπὲρ γῆν καὶ τὰ ἐν οὐρανῷ γε
καὶ οὐρανῶν ὑπέρτερα, ὡς ἀκριβῶς εἰδότες,
καὶ διηγεῖσθαι ἅπασι καὶ γνωστικοὶ καλεῖσθαι,
θεολόγοι τε ἀκριβεῖς καὶ μύσται τῶν ἀρρήτων,
ὅπερ καὶ ἔνδειγμά ἐστι πάντως ἀναισθησίας.
Ὁ γεννηθεὶς γὰρ δυστυχῶς ἐν τοῖς καταχθονίοις
καὶ σκότος ὅλως κατοικῶν τοῦ ἐνεστῶτος κόσμου,
φῶς τε μὴ θεασάμενος τοῦ μέλλοντος αἰῶνος,
— ὃ πάντως ἔλαμψεν ἐν γῇ καὶ ἀεννάως λάμπει —,
καὶ λέγων τὰ ἐν οὐρανῷ καὶ φρονεῖν καὶ εἰδέναι,
βλέπειν τε πάντα τὰ ἐκεῖ καὶ τοὺς ἄλλους διδάσκειν,
οὐχὶ ἀναίσθητός ἐστι καὶ πλέον ἄρα τούτου;
Ὡς γὰρ ὁ τυφλὸς φιλονεικῶν τοὺς βλέποντας καὶ λέγων·
Τὸ νόμισμα χαλκοῦν ἐστιν, ἡ σφραγὶς ἄλλου πέλει,
τὰ ἐν αὐτῷ δὲ γράμματα δηλοῖ τάδε καὶ τάδε,
ὄντως παράδοξόν ἐστι τοῖς ἀκούουσι τέρας

D (E) F H O R Z — METRUM XV

86 ἢ : εἰ R ‖ 90 καὶ¹ : τε D ‖ 93 οὐρανὸν R ‖ 100 πάντων R ‖ 103 πλεῖον D ‖ 104 M ! ‖ ὁ > ORZ ‖ 106 αὐτῇ ORZ ‖ 107 ἐστιν O

88-89. I Tim. 6, 16 — 90. Éphés. 3, 17

1. Γνωστικὸς καλεῖσθαι, cf. **23,** 526. De tels passages soulignent la place que la théologie tenait dans la pensée de l'époque et le prestige qu'elle conférait.

2. On notera le goût de Syméon pour les comparaisons piquantes qui prennent l'allure de petites fables, cf. l'araignée **23,** 203 s., la lampe **30,** 40 s., le petit chien et la noix **32,** 53 s.

et de ceux qui y sont depuis longtemps retenus, les mal-
heureux,
autant et davantage nous sommes tous loin,
en vérité, de la dignité divine et de la contemplation de
Dieu,
même si, contre toute vraisemblance, nous affirmons habiter
avec lui
et posséder en nous-même, résidant à demeure,
celui qui habite la lumière inaccessible;
et nous voudrions, assis dans les lieux souterrains,
raisonner sur ce qui est au-dessus de terre, sur ce qui est
dans le ciel
et plus haut que le ciel, comme des connaisseurs, des experts,
l'expliquer à tout le monde, être appelés savants[1],
théologiens experts et initiés des secrets (divins),
ce qui ne fait qu'étaler notre stupidité.
En effet, celui qui, pour son malheur, né dans les lieux
souterrains,
qui, habitant complètement dans l'obscurité du monde
présent
sans avoir vu la lumière du siècle futur
— lumière qui à coup sûr a brillé sur terre et y brille
continuellement —,
prétend, parlant de ce qui est dans le ciel, le connaître et
le savoir,
voir tout ce qui est là-haut et l'enseigner aux autres,
n'est-il pas un insensé et pire que cela?
C'est comme un aveugle[2] qui cherche querelle à ceux qui
voient clair en disant :
« Cette pièce est de bronze, l'empreinte est d'un autre,
l'inscription qu'elle porte dit ceci et cela. »
C'est une chose un peu forte pour ses interlocuteurs

καὶ τὸ νόμισμα βλέπουσι χρυσοῦν εὔριζον πάνυ
καὶ τὴν σφραγῖδα ἀληθῆ τοῦ βασιλέως οὖσαν,
ἀπαραποίητον αὐτοῦ δείκνυσαν τὴν εἰκόνα,
καὶ τὴν γραφὴν τὸ ὄνομα δηλοῦσαν τὸ ἐκείνου,
οὕτω γε πάσχοντες ἡμεῖς οὐ δοκοῦμεν τι πάσχειν,
οὐδ' αἰσχυνόμεθά τινα ἢ αὐτοὺς τοὺς ἁγίους
καὶ τοὺς ἀγγέλους ἄνωθεν τὰ καθ' ἡμᾶς ὁρῶντας,
ἀλλὰ πληροῦται εἰς ἡμᾶς ὁ λόγος τοῦ κυρίου
ὁ λέγων ὅτι· Βλέποντες οὐ βλέπουσι, καὶ αὖθις·
Ἀκούοντες τὰ ψυχικὰ ὦτα βύουσι μᾶλλον
καὶ οὐδαμῶς ἀκούουσι τοῦ Πνεύματος τοὺς λόγους,
καὶ γὰρ ὡσὶν ἀκούουσι σωματικῶς σαρκίνοις,
ὦτα πνευματικὰ καρδίας δὲ κεκαλυμμένα
ἔχουσι καὶ οὐ δύνανται ὅλως Θεοῦ ἀκούειν.
Οὐδαμῶς γὰρ ἰσχύουσιν ἀφ' ἑαυτῶν διάραι
κάλυμμα τῆς ἐπάρσεως καὶ τῆς ἀναισθησίας,
αὐτοὶ γὰρ τοῦτο ἑαυτοῖς ἐπέθεντο θελήσει,
καὶ βούλονται καλύπτεσθαι ὀφθαλμούς τε καὶ ὦτα,
καὶ διὰ τοῦτο οἴονται καὶ βλέπειν καὶ ἀκούειν.
Εἰ δέ γέ τις ἐρεῖ αὐτοῖς· Ἀκούσατέ μου, τέκνα,
καὶ ἄρατε τὸ κάλυμμα ἐκ τῆς ὑμῶν καρδίας!
καὶ πρὸς αὐτὰ τὰ ῥήματα ἀγριαίνουσιν, ὅτι
μὴ πατέρας ἐκάλεσεν, ἀλλὰ τέκνα προσεῖπε,
καὶ μῖσος μᾶλλον πρὸς αὐτὸν ἐκ τῶν λόγων προσκτῶνται
καὶ συνιδεῖν οὐ δύνανται τὸ προσὸν αὐτοῖς πάθος,
μᾶλλον δὲ πάθη τὰ τὸν νοῦν σκοτίζοντα καὶ φρένας
καὶ τοῦ Θεοῦ χωρίζοντα τοὺς προληφθέντας ἤδη,

D (E) F H O R Z — METRUM XV

108 εὔρυζον DFH εὔροιζον RZ ‖ 113 αἰσχυνόμεθα : αἰσθανόμεθα H ‖ 119 σωματικοῖς Z ‖ 120 M ! ‖ δὲ καρδίας ∾ R ‖ κεκαλυμμένα ὦτα δὲ πνευματικὰ καρδίας ∾ D ‖ 130 προσεῖπεν FH

116. Matth. 13, 13 — 117. Ps. 57, 5 — 123. II Cor. 3, 15

qui voient que la pièce est en or, du meilleur aloi,
que l'empreinte est réellement celle de l'Empereur,
qu'elle montre son effigie sans aucune falsification
et que l'inscription porte bien son nom.
C'est la même maladie dont nous souffrons, sans penser que nous sommes malades,
sans ressentir de honte devant personne, même pas devant les saints
et les anges qui, d'en haut, voient notre état;
sur nous se réalise la parole du Seigneur
qui dit : « Ils voient sans voir », et encore :
« Entendant, ils bouchent les oreilles de leur âme
et ils n'entendent absolument pas les paroles de l'Esprit,
car ils entendent corporellement, avec leurs oreilles de chair;
ils tiennent closes les oreilles spirituelles de leur cœur
et ils ne peuvent absolument pas entendre Dieu. »
Oui, ils sont totalement incapables d'ôter de dessus eux
le voile[1] de la vanité et de l'insensibilité,
puisque c'est eux-mêmes qui se le sont mis volontairement;
ils ne désirent que fermer leurs yeux et leurs oreilles
et c'est pour cela qu'ils s'imaginent voir et entendre.
Que si quelqu'un leur dit : Écoutez-moi, mes enfants,
ôtez le voile de dessus votre cœur,
ces mots mêmes les mettent en fureur ; parce que
il ne les a pas appelés « Pères », qu'il leur a dit « Enfants »,
ces paroles ne lui attirent de leur part que haine,
incapables qu'ils sont de prendre conscience du mal qui les ronge,
ou plutôt des maux, ces maux qui obscurcissent leur intelligence et leur pensée
et séparent de Dieu ceux qui en ont été atteints,

1. Sur ce voile, cf. **32,** 25 s. ; **34,** 113 s.

οἱ δοῦλοι τῆς οἰήσεως καὶ τῆς περηφανείας
θελήσει χρηματίσαντες καὶ αἰχμαλωτισθέντες
τὸ θέλημα τὸ ἴδιον ἀεὶ ἀποπληροῦσιν.
Οὗτοι ἀφέντες νόμους τοῦ Θεοῦ ἑαυτοῖς εἰσι νόμος,
καὶ οὐ Θεῷ ἀλλ' ἑαυτοῖς λατρεύουσιν, ὢ τόλμης,
ἀντὶ τῆς δόξης τοῦ Θεοῦ τὴν ἰδίαν ζητοῦντες
καὶ στῆσαι ταύτην σπεύδοντες πᾶσιν ἔργοις καὶ τρόποις.
Δόξα οὖν πέλει τοῦ Χριστοῦ ὁ σταυρὸς καὶ τὰ πάθη,
ἃ καθυπέστη δι' ἡμᾶς, ἵνα ἡμᾶς δοξάσῃ·
ταῦτα δ' οὐ βούλονται παθεῖν, ὡς ἔπαθεν ἐκεῖνος,
καὶ παραιτοῦνται μέτοχοι δόξης Θεοῦ γενέσθαι
τῷ παραιτεῖσθαι τὸ παθεῖν, ὡς ἔπαθεν ἐκεῖνος,
καὶ θέλουσιν, οἴμοι, τιμὴν μᾶλλον τὴν ἐξ ἀνθρώπων
καὶ χωρισμὸν ἀπὸ Θεοῦ ἑκουσίως αἱροῦνται.
Ἀλλ', ὢ Χριστέ μου, λύτρωσαι τοὺς εἰς σὲ πεποιθότας
κενοδοξίας μιαρᾶς καὶ ὑπερηφανίας
καὶ συμμετόχους ποίησον παθῶν σου καὶ τῆς δόξης
καὶ καταξίωσον ἡμᾶς ἀχωρίστους σου εἶναι
νῦν τε καὶ εἰς τοὺς μέλλοντας αἰῶνας τῶν αἰώνων!
Ἀμήν.

D (E) F H O R Z — METRUM XV

135 τῆς περηφανείας : τῆς ἀλαζονίας D ὑπερηφανίας ORZ ‖ 138 M 1 ‖ οὗτοι ἀφέντες τοῦ Θεοῦ τοὺς παναγίους νόμους οἱ τάλανες καὶ ἄθλιοι ἑαυτοῖς εἰσι νόμος D ‖ 140 ζητοῦντες τὴν ἰδίαν ∽ D ‖ 141 σπεύδοντες : σπάοντες D ‖ ἔργοις πᾶσιν ∽ D ‖ 144 βόλονται O ‖ 145 Θεοῦ : Χριστοῦ D ‖ 146 > HRZ ‖ ἔπαθεν ἐκεῖνος : ἕκαστον O ‖ Σ ἀπ' ἐντεῦθεν λύπη ἀπὸ τὸ ἀντιβόλαιον φλλ' γ' O ‖ 147-153 > ORZ ‖ 147 τιμήν, οἴμοι, τὴν ἐξ ἀνθρώπων μᾶλλον ∽ D ‖ 148 ἑκούσιον F ‖ 149 μου > D ‖ 152 εἶναι σου ἀχωρίστους ∽ D ‖ 153 Σ στίχοι ρνδ' D ‖ Σ στίχοι ρνγ' H

eux qui, devenus volontairement captifs et tombés sous l'esclavage
de la présomption et de l'orgueil,
accomplissent sans cesse leur propre volonté;
ayant abandonné les lois de Dieu, ils sont à eux-mêmes leur propre loi,
et ce n'est pas Dieu, c'est eux-mêmes qu'ils servent, comble d'audace;
au lieu de la gloire de Dieu, c'est la leur qu'ils cherchent,
c'est elle qu'ils tâchent d'établir de toutes les façons et par tous les moyens.
Or ce qui fait la gloire du Christ, c'est la croix et les souffrances
qu'il a subies pour nous afin de nous glorifier :
mais eux ne veulent pas souffrir ce que lui a souffert
et ils refusent de devenir participants de la gloire de Dieu
en refusant de souffrir comme lui a souffert;
ils préfèrent, hélas, la gloire qui vient des hommes
et choisissent volontairement la séparation d'avec Dieu.
— Mais, ô mon Christ, délivre ceux qui se sont fiés à toi
de la vanité immonde et de l'orgueil;
fais-nous participer à tes souffrances et à ta gloire,
et daigne faire que rien ne nous sépare de toi
maintenant et dans les siècles à venir, les siècles des siècles.
Amen.

---

140. Jn 5, 44 — 147. Jn 12, 43

LIII

Κατὰ διάλεκτον Θεοῦ καὶ τοῦ πατρὸς τῶν λόγων ὁ λόγος· καὶ ὅπως ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἐλλαμπόμενος ὁ θεῖος οὗτος πατὴρ ὡμίλει Θεῷ καὶ ὑπ' ἐκείνου ἐμυσταγωγεῖτο τὰ θεῖα τε καὶ ἀνθρώπινα

Ἴδε μου, Χριστέ, τὴν θλῖψιν,
ἴδε μου τὴν ἀθυμίαν,
ἴδε τὴν ἀδυναμίαν,
ἴδε μου καὶ τὴν πτωχείαν.
Ἴδε τὴν ἀσθένειάν μου
καὶ οἰκτείρησόν με, λόγε!
Λάμψον μοι καὶ νῦν ὡς πάλαι
καὶ καταύγασον ψυχήν μου·
φώτισον τοὺς ὀφθαλμούς μου
τοῦ ὁρᾶν σε, φῶς τοῦ κόσμου,
τὴν χαράν, τὴν εὐφροσύνην,
τὴν ζωὴν τὴν αἰωνίαν,
τὴν τῶν ἀγγέλων τρυφήν,
βασιλείαν οὐρανῶν τε
καὶ παράδεισόν σε ὄντα,

D H — METRUM VIII

Tit. Θεῷ : τὰ θεῖα D ‖ 4 πτωχίαν D ‖ 10 Σ ὅρα τοὺς θείους ἔρωτας τοῦ ἁγίου πατρός H ‖ 13 M ! ‖ τὴν τρυφὴν τὴν τῶν ἀγγέλων D

9. Ps. 12, 4 — 10. Jn 8, 12 — 12. I Jn 5, 20

LIII

Discours en forme de dialogue entre Dieu et le père des discours ; comment ce père, cet homme divin, illuminé par le Saint-Esprit, s'entretenait avec Dieu et était par lui initié aux mystères divins et humains[1].

Vois, ô Christ, mon angoisse,
vois mon manque de courage,
vois mon manque de force,
vois aussi ma pauvreté,
vois ma faiblesse,
et de moi, ô Verbe, aie pitié!
Brille sur moi, maintenant (encore) comme jadis,
et éclaire mon âme, illumine mes yeux
pour te voir, lumière du monde[2],
toi la joie, le bonheur,
la vie éternelle,
les délices des anges,
toi, le Royaume des cieux
et le Paradis,

1. Syméon demande au Seigneur de ne pas lui cacher son visage (1-56). Le Seigneur lui répond que la Lumière ne saurait se cacher. Elle brille pour être vue. S'Il a créé Adam, c'est pour qu'Adam le voie et c'est l'homme qui par son péché est devenu aveugle (57-194). Alors Dieu a pris une forme sensible, devenu homme pour être vu des hommes (195-225). Puis Syméon montre que même la mort imposée à Adam est moins un châtiment qu'un bienfait (226-318). Cet Hymne n'existe ni dans Z ni dans Pontanus.

2. Lumière du monde, joie, Royaume, Paradis. Voir une autre litanie des titres divins, **1**, 132 et la note.

στέφανον τὸν τῶν δικαίων
καὶ κριτὴν καὶ βασιλέα.
Τί τὸ πρόσωπόν σου κρύπτεις ;
Τί χωρίζῃ μου, Θεέ μου,
ὃς οὐ θέλεις χωρισθῆναι
πώποτε τῶν σε φιλούντων ;
Τί με φεύγεις, τί με καίεις,
τί με τέμνεις καὶ συντρίβεις ;
Οἶδας, ὅτι ἀγαπῶ σε
καὶ ἀπὸ ψυχῆς ζητῶ σε.
Ἀποκάλυψον, ὡς εἶπας,
καὶ ἐμφάνισον σαυτόν μοι !
Οἶδα γὰρ ἀληθινόν σε,
ἔγνωκα ὡς ἀψευδὴς εἶ
καὶ φιλεῖς τοὺς σὲ φιλοῦντας
καὶ προσομιλεῖς ὡς φίλοις
οὐ σκιᾷ οὐδὲ ἐμφάσει,
οὐδ' ὡς νοῦς νοῒ ἑτέρῳ,
ἀλλ' ὡς λόγος ὢν ἀρχῆθεν,
ἐνυπόστατος ζωή τε,
ἐκ πατρὸς γεγεννημένος
καὶ αὐτῷ συνηνωμένος
καὶ συνόμιλος ἀφράστως.
Οὕτως οὓς αὐτὸς γεννήσεις
Πνεύματί σου τῷ Ἁγίῳ
καὶ υἱούς σου ἀποδείξεις,
μᾶλλον μὲν οὖν ἀδελφούς σου
καὶ Θεοῦ υἱούς, Πατρός σου,
τούτοις καὶ συνομιλεῖς τε
καὶ αὐτοὺς ὁρῶν ὁρᾶσαι

D H — Metrum VIII

29 ἀψευδῆ δὲ ἔγνωκά σε D ‖ 39 γεννήσῃς D H ‖ 43 υἱοὺς Θεοῦ ∾ D

16. II Tim. 4, 8 — 21. Prov. 8, 17 — 24. Jn 21, 15 — 25.

la couronne des justes,
leur Juge et leur Roi.
Pourquoi caches-tu ton visage?
pourquoi t'éloignes-tu de moi, toi mon Dieu,
qui ne veux pas t'éloigner
jamais de ceux qui t'aiment?
Pourquoi me fuir, pourquoi me brûler,
pourquoi me blesser et m'écraser?
Tu sais que je t'aime
et que de toute mon âme je te cherche.
Révèle-toi, selon ta parole,
et manifeste-toi à moi!
Car je sais que tu es véridique,
j'ai reconnu que tu es sans mensonge
et que tu aimes ceux qui t'aiment,
et que tu t'entretiens avec eux comme avec des amis,
non en ombre (seulement) ni en apparence,
ni comme une intelligence avec une autre intelligence,
mais comme Verbe que tu es dès le commencement
et Vie substantielle,
engendré du Père
et avec lui ne faisant qu'un,
dans l'unité d'un ineffable entretien.
De même ceux que toi-même engendreras
par ton Esprit-Saint
et dont tu feras tes fils,
ou plutôt tes frères
et les fils de Dieu, ton Père,
avec eux tu t'entretiens,
tu les vois et tu es vu

Deut. 4, 29 — 26. Matth. 11, 27 — 27. Jn 14, 21 — 28. Matth. 22, 16. I Jn 5, 20 — 30. Prov. 8, 17 — 34. Jn 1, 1 — 35. Jn 1, 4 — 39. Jn 3, 5

ὑπ' αὐτῶν ἐκείνων πάλιν.
Δεῖξον οὖν τὴν εὐσπλαγχνίαν,
δεῖξον τὴν φιλανθρωπίαν
καὶ τὸ ἔλεός σου, σῶτερ,
ὃ ἐξέχεας πλουσίως
ἐπὶ πᾶσαν ὄντως σάρκα
τὴν εἰς σὲ πεπιστευκυῖαν,
καὶ διάνοιξόν μοι πύλας
τοῦ νυμφῶνος σου, Θεέ μου,
ναί, μὴ κλείσῃς μοι τὴν θύραν
τοῦ φωτός σου, ὦ Χριστέ μου! —
Τί τοῖς λόγοις με βιάζειν,
ὦ υἱὲ ἀνθρώπων, οἴει ;
Τί δὲ καὶ ἀφρόνως λέγεις
κρύπτειν με τὸ πρόσωπόν μου ;
Τί δὲ θύρας με καὶ πύλας
ὅλως κλείειν ὑποπτεύεις ;
Τί δὲ καὶ χωρίζεσθαί σου
πώποτε ὑπολαμβάνεις ;
Τί δὲ φλέγειν σε καὶ καίειν
καὶ συντρίβειν ὅλως εἶπας ;
Οὐκ ὀρθοί γε σοῦ οἱ λόγοι,
οὐδ' ἡ γνῶσις ὀρθὴ αὕτη.
Ἄκουε δὲ μᾶλλον λόγους,
οὓς ἐγώ σοι μέλλω λέγειν·
Ἤμην φῶς καὶ πρὸ τοῦ κτίσαι
τὰ ὁρώμενά σοι πάντα.
Πανταχοῦ εἰμι καὶ ἤμην
καὶ τὴν πᾶσαν κτίσας κτίσιν,
πανταχοῦ εἰμι κ' ἐν πᾶσιν.

D H — METRUM VIII

53 καὶ : ναὶ D ‖ 54 Θεέ : Χριστέ D ‖ 56 Χριστέ : Θεέ D ‖ 58 ἀνθρώπου D ‖ 62 κλύειν D ‖ 70 μέλω D ‖

d'eux, à ton tour.
Montre donc ta miséricorde,
montre ton amour des hommes
et ta pitié, Sauveur,
que tu as répandue à profusion
réellement sur toute chair
qui a cru en toi :
ouvre-moi à deux battants
la salle des noces, mon Dieu ;
oui, ne me ferme pas la porte
de ta lumière, ô mon Christ!
— Est-ce que tu t'imagines, fils des hommes,
me forcer, avec tes paroles?
Qu'est-ce que tu racontes, insensé :
que je cache mon visage?
Est-ce que tu me soupçonnes tant soit peu
de fermer portes et vantaux?
Est-ce que tu te figures
que je m'éloigne jamais de toi?
Qu'est-ce que tu as dit :
moi, vraiment, t'enflammer, te brûler et t'écraser?
Tes paroles, certes, ne sont pas justes,
et cette idée non plus n'est pas juste.
Écoute plutôt les paroles
que moi je vais te dire :
j'étais lumière, avant même d'avoir créé
toutes les choses que tu vois[1].
Partout je suis, partout j'étais,
et, ayant créé toute la création,
je suis partout et en tout,

47. Ps. 84, 8 48. Tite 3, 4 50. Tite 3, 6 53 s. Matth. 25, 10-11

1. Avant toute création il y avait la Lumière, cf. **38**, 24 s.

Ἄκουσον σοφίας λόγους,
σύνες μυστηρίων βάθος!
Πλὴν οὐδὲν τῶν πάντων ἦμην,
οὐδὲ πάντως μετὰ πάντων,
οὐδ' ἐντὸς τῶν πάντων ἦμην·
οὐδενὶ δὲ συνημμένος,
ἀλλὰ μετὰ πάντων ἦμην.
Μηδὲν οὖν τῶν πάντων πέλων
ἐν τοῖς πᾶσιν ὢν οὐκ ἦμην,
μέσον δὲ τῶν ὁρωμένων,
τῶν ἐμψύχων καὶ ἀψύχων,
ἀναισθήτων αἰσθητῶν τε,
τῶν ἐμοῦ κεχωρισμένων
καὶ μηδόλως με εἰδότων,
ἔπλασα τὸν χοῦν εἰς σῶμα,
ἐνεφύσησα ψυχήν τε —
οὐκ ἐκ τῆς ἐμῆς οὐσίας,
ἀλλ' ἐκ τῆς ἐμῆς ἰσχύος.
Νόει, ἅπερ σε διδάσκω.
Εἶπον οὖν· τῇ δυνάμει μου
ἐνεφύσησα ψυχήν σοι
λογικὴν καὶ νοεράν τε,
ἥτις ὥσπερ εἰς οἰκίαν
εἰσελθοῦσα συνεδέθη,
καὶ ὡς ὄργανον λαβοῦσα,
ἓν ἐξ ἀμφοτέρων ὤφθη.
Ζῷόν σοι λέγω λογικὸν
ἄνθρωπος διπλοῦς ἐκ δύο
φύσεων ἀνεκλαλήτως·

D H — METRUM VIII

76 ἄκουε D ‖ 81-82 > H ‖ 95 M ! ‖ τῇ δυνάμει μου οὖν εἶπον ∾ D ‖ 99 συνεδέθην H ‖ 102 λογικόν σοι λέγω ∾ D

76. I Cor. 2, 4 — 90. Gen. 2, 7 — 96. id.

— écoute les paroles de la sagesse,
comprends la profondeur des mystères!
Toutefois je n'étais aucun de tous les êtres,
ni totalement avec tous,
ni non plus à l'intérieur de tous,
mais, sans être uni à aucun,
j'étais cependant avec tous[1].
Je n'étais donc aucun d'eux tous
et j'étais en tous sans y être,
et, au milieu de tous les êtres visibles,
les animés et les inanimés,
doués de sensation[2] et insensibles,
ceux qui sont éloignés de moi
et m'ignorent totalement,
j'ai modelé la poussière pour former un corps
et j'y ai insufflé une âme,
non à partir de mon essence
mais de ma puissance
— comprends ce que je t'enseigne!
Je t'ai donc dit que par mon pouvoir
je t'ai insufflé une âme
douée de raison et d'intelligence
qui, entrant (dans le corps) comme dans une maison,
lui fut attachée;
elle le prit comme instrument
et, des deux, un seul être apparut,
je veux dire un animal raisonnable,
l'homme double[3] (composé) de deux
natures, d'une façon inexprimable :

1. Sur ces relations du Créateur avec ses créatures, cf. **23,** 20 s.
2. Ici αἰσθητὸς est à prendre au sens de αἰσθητικός : doué de sensation.
3. L'homme double, composé de deux natures. Même développement dans **23,** 60-75.

σώματος τοῦ ὁρωμένου,
ἀναισθήτου καὶ ἀλόγου
καὶ ψυχῆς τῆς ἀοράτου
κατὰ τὴν ἐμὴν εἰκόνα
λογικῆς τε καὶ νοερᾶς,
— ξένον θαῦμα — μέσον πάντων,
τῶν κτισμάτων μέσον, λέγω.
Ποίων ἄρα τῶν κτισμάτων ; —
Τῶν ἐνύλων καὶ ἀΰλων·
ἔνυλα γάρ, ἅπερ βλέπεις,
ἀΰλοι δὲ ἄγγελοί γε.
Μέσον τούτων οὖν, σοι λέγω,
ζῶον ἄνθρωπος, διπλοῦν δέ·
ἐν αἰσθητοῖς μὲν ἄϋλον,
ἐν ἀΰλοις αἰσθητὸν δέ.
Τοῦτον οὖν ὡς αἰσθητὸν μὲν
κύριον τῶν ὁρωμένων
καὶ δεσπότην εἰργασάμην,
δοῦλα ὡς ὁρατὰ πάντα
αὐτῷ μόνῳ ὑποτάξας,
ὅπως βλέπῃ μου τὰ ἔργα
καὶ δοξάζῃ με τὸν κτίστην·
ὡς δὲ λογικόν τε ὄντα
καὶ νοερῶς καθορῶντα,
δέδωκα αὐτὸν ὁρᾶν με
καὶ ἐκ τούτου τῶν ἀγγέλων
ἐν ἀξίᾳ καθεστάναι.
Βλέπε, σύνες, τί σοι εἶπον·
ἄνθρωπος διπλοῦς ὑπάρχων
ἔβλεπε τοῖς αἰσθητοῖς μὲν

D H — METRUM VIII

109 M ! ‖ καὶ νοερᾶς τε ∽ D ‖ 112 τῶν : γε D ‖ 115 δὲ : οἱ D ‖ 116 οὖν σοι τούτων ∽ D ‖ 117 διπλοῦς H ‖ ἄνθρωπος διπλοῦν γε ζῶον D ‖ 118 M ! ‖ ἄϋλον ἐν αἰσθητοῖς μὲν ∽ D ‖ 119 αἰσθητόν δε ἐν ἀΰλοις ∽ D ‖ 124 καθυποτάξας H ‖ 127 ὡς δὲ : καὶ ὡς D ‖ 128 καὶ

du corps visible
dépourvu de sentiment et de raison,
et de l'âme invisible qui, à mon image,
est douée de raison et d'intelligence,
— merveille étrange — au milieu de tous les êtres,
je veux dire au milieu de toutes les créatures
— mais alors de quelles créatures?
— des créatures matérielles, et des immatérielles,
car matérielles sont celles que tu vois
mais immatériels les Anges.
C'est donc au milieu d'elles, je le répète,
qu'est ce vivant, l'homme, ce vivant double :
parmi les êtres sensibles, immatériel,
mais parmi les immatériels, sensible.
Je le constituai donc, en tant que sensible,
seigneur des choses visibles
et leur maître,
lui soumettant comme des esclaves,
à lui seul, toutes les choses visibles,
afin qu'il voie mes œuvres
et me glorifie, moi leur Créateur;
mais, en tant que raisonnable
et capable de contemplation intellectuelle,
je lui ai donné de me voir
et par là d'être établi
dans la dignité des anges.
— Fais attention, comprends ce que je viens de te dire. —
L'homme, étant double,
voyait, avec ses yeux

νοερῶς : νοερῶς δὲ D ‖ 130 τῶν ἀγγέλων : ἐν ἀξίᾳ D ‖ 131 ἐν ἀξία : τῶν ἀγγέλων D

108. Gen. 1, 26-27 124. Ps. 8, 6

ὀφθαλμοῖς τὰ κτίσματά μου,
τοῖς νοεροῖς δὲ πρόσωπον
ἔβλεπεν ἐμοῦ τοῦ κτίστου,
ἐθεώρει μου τὴν δόξαν
καὶ ὡμίλει μοι καθ' ὥραν.
Ὅτε δὲ τὴν ἐντολήν μου
παραβὰς ἀπὸ τοῦ ξύλου
ἔφαγεν, ἀπετυφλώθη
καὶ ἐγένετο ἐν σκότει
τοῦ θανάτου, καθὼς εἶπον,
ὅπερ λέγεται κρυβῆναι
— τοῦτο γὰρ ἐκεῖνος τότε
ὑπενόησεν ἀφρόνως.
Ποῦ γὰρ εἶχε με κρυβῆναι
ἢ ἐν ποίῳ τόπῳ, λέγε ;
Σὺ δὲ νῦν λογίζῃ χεῖρον,
ἀφρονέστερον ἐκείνου,
ὅτι κρύπτομαι μὴ θέλων
ὁραθῆναι σοι εἰς ἅπαν.
Εἰ γὰρ μὴ ὁρᾶσθαι θέλω,
τί καὶ ἐν σαρκὶ ἐφάνην ;
Τί δὲ καὶ κατῆλθον ὅλως ;
Τί δὲ καὶ ὠράθην πᾶσι ;
Μὴ ἀγνόῃ μου τὰς πράξεις,
μηδὲ τὰς οἰκονομίας·
ὁ Ἀδὰμ τυφλωθεὶς πρῶτον
ἐλεγχθεὶς καὶ διδαχθεὶς τε
ὑπ' ἐμοῦ μετανοῆσαι
οὐκ ἠθέλησεν, ἀλλ' ὅλως
ἀταπείνωτος εὑρέθη,

D H — METRUM VIII

136 M ! ‖ πρόσωπον τοῖς νοεροῖς δε ∽ D ‖ 156 ὅλος H ‖ 163 ὅλος H

sensibles, mes créatures,
mais avec ceux de l'intelligence, il voyait
mon visage à moi, son Créateur,
il contemplait ma gloire
et m'entretenait à toute heure.
Mais, quand, transgressant
mon commandement, il eut goûté
à l'arbre, il devint aveugle
et tomba dans l'obscurité
de la mort, comme je l'ai dit
— c'est ce que (l'Écriture) appelle « se cacher ».
En effet c'est cela qu'alors
cet insensé crut pouvoir faire!
Où pouvait-il bien se cacher de moi,
en quel lieu, dis-moi?
Et toi maintenant ton idée est pire,
plus insensée que la sienne :
c'est que moi, je me cache, refusant
totalement d'être vu par toi.
Alors, si je ne veux pas être vu,
pourquoi suis-je apparu dans une chair[1]?
pourquoi tout simplement suis-je descendu?
pourquoi ai-je été vu de tous?
Ne méconnais donc pas mes actions
ni mon *économie*!
Adam, devenu d'abord aveugle,
quand je le réprimandai et voulus lui apprendre
à se repentir,
s'y refusa et, au lieu de montrer
la moindre humilité,

140 s. Gen. 3, 11.17 — 145. Gen. 3, 10 — 152. Job 34, 29 — 155. I Tim. 3, 16

1. Dieu est venu sur terre pour être vu des hommes, cf. **17**, 261-269 ; **32**, 84 s.

Εἶπε δὲ μᾶλλον· Ἡ γυνὴ
ἥμαρτεν, ἣν δέδωκάς μοι,
ὡσανεὶ τῆς ἁμαρτίας
αἰτιόν με ἀποφήνας.
Ὁμοίως πάλιν ἡ γυνὴ
ἠτιάσατο τὴν ὄφιν,
καὶ οὐδεὶς ἡμαρτηκέναι
ὡμολόγησεν οὐδ' ὅλως.
Διὰ τοῦτο ἐξεβλήθη
τῆς τρυφῆς τοῦ παραδείσου
καὶ ἔμεινεν ἐν αἰσθητοῖς
μόνοις μετὰ τῶν ἀλόγων,
ἄλογος ἐκ λογικῶν τε
γεγονὼς καὶ ἔνυλός γε,
χωρισθεὶς ἐκ τῶν ἀΰλων.
Θαῦμα ξένον· ὥσπερ σῶμα,
γέγονεν ὀμμάτων δίχα
ἡ ψυχὴ ἐκτυφλωθεῖσα
καὶ Θεὸν μὴ καθορῶσα.
Σῶμα μέν, εἰ τυφλωθείη,
ὑπὸ τῆς ψυχῆς κινεῖται·
ἡ ψυχὴ δὲ τυφλωθεῖσα
ποίαν κίνησιν εὑρήσει;
Ζῆν δὲ πῶς ὅλως ἰσχύσει;
Οὐδαμῶς, ἀλλὰ θανεῖται
θάνατον εἰς τὸν αἰῶνα,
ὅπερ ἔπαθον, ὡς εἶπον,
οἱ πρωτόπλαστοι ἀνοίᾳ

D H — METRUM VIII

165 M ! ‖ ἡ γυνὴ δὲ μᾶλλον εἶπε ∽ D ‖ 169 M ! ‖ ἡ γυνὴ ὁμοίως πάλιν ∽ D ‖ 175 M ! ‖ καἵμενεν ἐν αἰσθητοῖς δε D ‖ 177 ἐκ λογικῶν τε ἄϋλος H ‖ 178 καὶ ἔνυλός γε γεγονὼς ∽ H ‖ 185 κινεῖτε H ‖ 188 ὅλως ζῆν δε πῶς ἰσχύσει ∽ D

165. Gen. 3, 12 s. 170. Gen. 3, 13 173. Gen. 3, 23

il dit : c'est la femme
qui a péché, celle que tu m'as donnée,
comme si de son péché
c'était moi qu'il rendait responsable.
Et pareillement la femme, à son tour,
accusa le serpent.
Aucun des deux ne reconnut
le moins du monde qu'il avait péché[1].
C'est pour cela qu'il fut chassé
des délices du paradis,
pour demeurer dans les seules réalités
sensibles avec les animaux sans raison,
retranché des êtres raisonnables
pour devenir sans raison et matériel,
séparé des êtres immatériels.
Merveille étrange! Comme un corps,
l'âme fut privée de ses yeux[2],
elle devint aveugle
sans plus voir Dieu.
Si le corps est aveuglé,
l'âme (encore) le fait se mouvoir,
mais l'âme aveuglée,
où trouvera-t-elle le mouvement?
comment pourra-t-elle seulement vivre?
Impossible! elle mourra
de la mort éternelle,
ce qui est arrivé, je le répète,
pour leur folie, à nos premiers parents,

1. Adam est le type du pécheur comme le Prodigue est le modèle du pénitent. Le premier refuse de reconnaître sa faute, le second se prosterne et avoue son péché, cf. **42,** 53 et la note ; *Cat.* **5,** l. 173 s.

2. Les yeux de l'âme. L'homme est double et possède deux regards, cf. **23,** 448 ; **38,** 86.

καὶ κατῆλθον εἰς τὸν ᾅδην
καὶ εἰς φθορὰν κατήχθησαν, οὗσπερ κατελεήσας
ἄνωθεν ἐγὼ κατῆλθον·
ἀόρατος ὢν πάντῃ
πάχους καὶ σαρκὸς μετέσχον
καὶ ψυχὴν ἀνελαβόμην,
Θεὸς ὢν ἀναλλοιώτως
ἐγενόμην σὰρξ ὁ Λόγος.
Ἐκ σαρκὸς ἀρχὴν λαβὼν δὲ
ἄνθρωπος ὡράθην πᾶσιν.
Διὰ τί οὖν ὅλως τοῦτο
ἠνεσχόμην τοῦ ποιῆσαι;
Ὅτι ἐπὶ τούτῳ πάντως
ἔκτισα, καθὼς καὶ εἶπον,
τὸν Ἀδὰμ τοῦ καθορᾶν με.
Ἐπειδὴ δὲ ἐτυφλώθη,
ἐξ ἐκείνου τε οἱ πάντες
τούτου ἀπόγονοι ἅμα,
οὐχ ὑπέφερον, αὐτὸς μὲν
εἶναι ἐν τῇ θείᾳ δόξῃ,
παρορᾶν δὲ τυφλωθέντας
τῇ τοῦ ὄφεως ἀπάτῃ,
οὕσπερ ἔκτισα χερσί μου.
Ἀλλὰ ὅμοιος ἀνθρώποις
ἐγενόμην κατὰ πάντα,
αἰσθητὸς τοῖς αἰσθητοῖς γε,
καὶ ἠνώθην τούτοις θέλων.
Βλέπεις, πόσον πόθον ἔχω
τοῦ �ρᾶσθαι παρ' ἀνθρώπων,
ὡς καὶ ἄνθρωπος γενέσθαι
θελῆσαι καὶ ὁραθῆναι.

D H — METRUM VIII

194 M ! ‖ καὶ > D ‖ κατήχθησάν+τε D ‖ οὕσπερ+καὶ D ‖ 196 ὁ [ἀόρατος+D ‖ 199 > H ‖ 202 πᾶσι D ‖ 204 ἀνεσχόμην D ‖ 208 ἐπεὶ H ‖ 210 M ! ‖ ἅμα ἀπόγονοι οἱ τούτου D ‖ 223 καὶ θελήσαι ὁρασθῆναι D

et ils sont descendus dans les enfers,
ils ont été précipités dans la corruption — mais je les ai pris en pitié
et je suis venu d'en haut;
moi l'absolument invisible,
j'ai partagé l'opacité de la chair,
j'ai assumé une âme,
et, moi qui suis Dieu, sans changement,
je suis, Verbe, devenu chair
et, recevant de la chair un commencement,
homme j'ai été vu de tous.
Et pourquoi donc ai-je bien pu
accepter de faire cela?
Parce que c'est là, je le répète,
la vraie raison pour laquelle j'avais créé
Adam : pour me voir.
Mais, lorsqu'il eut été aveuglé,
et, à sa suite, tous
ses descendants à la fois,
je ne supportais pas d'être, moi,
dans la gloire divine,
et d'abandonner, une fois devenus aveugles
par la tromperie du serpent,
ceux que j'avais créés de mes mains;
mais je suis devenu semblable
en tout aux hommes,
sensible avec les sensibles,
et je me suis uni à eux volontairement.
Tu vois quel est mon désir
d'être vu par les hommes,
au point d'avoir voulu devenir,
devenir et apparaître homme !

195. Jn 3, 31 — 200. Jn 1, 14 — 216. Hébr. 2, 17

Πῶς οὖν εἶπας κρύπτεσθαί με
ἀπὸ σοῦ καὶ μὴ ὁρᾶσθαι ;
Ὄντως λάμπω, ἀλλ' οὐ βλέπεις.
Πρόσεχε τῷ μυστηρίῳ·
ἔβλεπε θεότητός μου
δόξαν ὁ Ἀδὰμ καὶ ἔζη,
παραβὰς δ' ἀπετυφλώθη
voire la suggestion d'une parole (dure) ou d'une méchante pensée,
— à moins d'en faire pénitence dans les larmes, avec ferveur,
et de chasser de toi par le repentir ces (mauvais mouvements) —,
si tu accueilles n'importe quelle réflexion méchante au fond du cœur,
cette lumière ne saurait demeurer (en toi) : car elle est l'Esprit Divin
qui vit avec moi et le Père en tant qu'il m'est consubstantiel,
mais qui soudain disparaît secrètement, comme le soleil à son coucher,
et une fois qu'il s'est caché comme en un clin d'œil, on ne le voit plus.
Comment donc subsistera-t-il dans une âme qui n'a pas du tout été purifiée

μὴ εἰς συναίσθησίν ποτε ἐλθούσῃ μετανοίας ;
Ἢ πῶς καὶ ὑπενέγκοιτο πυρὸς ἀστέκτου φύσιν
ἀκάνθας γέμουσα παθῶν ψυχὴ καὶ ἁμαρτίας,
οὐσίαν πῶς χωρήσειεν ἀχώρητον εἰς ἅπαν,
πῶς σκότος οὖσα συγκραθῇ φωτὶ τῷ ἀπροσίτῳ
καὶ μὴ ἀφανισθήσεται αὐτοῦ τῇ παρουσίᾳ ;
Οὐκ ἔστι, τέκνον, οὐδαμῶς δυνατὸν ὅλως τοῦτο !
Ἐγὼ κτισμάτων πάντων γὰρ εἰμὶ κεχωρισμένος ·
ἐπεὶ δὲ κτίσμα γέγονα, τῶν ἁπάντων ὁ κτίστης,
σαρκὶ καὶ μόνον ὅμοιος ὑπῆρξα τοῖς ἀνθρώποις,
ψυχὴν ἀναλαβόμενος καὶ νοῦν ὁμοίως τούτοις.
Οὐδὲ γὰρ πάντας ἐν ταὐτῷ τότε θεοὺς ἀνθρώπους
πεποίηκα, ἀλλ' ἄνθρωπος ἐγενόμην ἐγὼ μέν ·
τῇ πίστει δὲ καὶ τῶν ἐμῶν ἐντολῶν τῇ τηρήσει,
ἀλλὰ καὶ τῷ βαπτίσματι, ἐν θείᾳ μεταλήψει
τῶν φρικτῶν μυστηρίων μου πᾶσι ζωὴν δωροῦμαι.
Ζωὴν δ' εἰπὼν ἐδήλωσα τὸ Πνεῦμα μου τὸ Θεῖον ·
πλὴν τοῦτο γινωσκέτωσαν, καθὼς εἶπεν ὁ Παῦλος,
οἱ ἔχοντες τὸ Πνεῦμα μου ἐν ταῖς αὐτῶν καρδίαις,
λάμπον καὶ κράζον ἔχουσι πρὸς τὸν ἐμὸν Πατέρα,
καὶ πρός με λέγει δι' αὐτῶν · Ὦ ἀββά, ὁ πατήρ μου !
Ὡς τέκνα γὰρ γεγόνασι Θεοῦ καὶ παρρησίᾳ
γνωρίζοντές με βλέπουσι καὶ Πατέρα καλοῦσι ·

D H O R Z — METRUM XV

131 εἰς : εἰ D ‖ ἐλθούσης O ‖ 132 πῶς > ORZ ‖ ὑπενέγκοιεν D ‖ 133 ἀκάνθες O ‖ γέμουσαν HRZ ‖ 138 γὰρ εἰμι πάντων ∽ D ‖ 139 ὁ τῶν ἁπάντων ∽ D ‖ 143 ἐγὼ μὲν ἐγενόμην ∽ D

144. 1 Cor. 7, 19 — 146. Jn 17, 2 — 149. Gal. 4, 6

1. Les épines des passions, cf. v. 106. L'image est évidemment empruntée à l'Évangile (*Matth.* 13, 7) où les épines étouffent la semence divine. Cf. **17**, 795 s. Quant à la construction du verbe γέμω avec l'accusatif, on la trouve dès les débuts de la Κοινή, cf. *Apoc.* 17, 3.

et qui n'est jamais parvenue à la conscience du repentir?
Comment l'âme supporterait-elle la nature de ce feu intolérable,
alors qu'elle est toute remplie des épines des passions et du péché[1]?
comment contiendrait-elle l'essence que rien absolument ne peut contenir?
comment, étant elle-même ténèbres, se mêlera-t-elle à la lumière inaccessible
et ne sera-t-elle pas anéantie par sa présence?
Impossible, enfant, cela est absolument impossible!
Moi, en effet, je suis éloigné de toutes les créatures,
mais quand je suis devenu créature, moi le créateur de tout,
par la chair, je me suis contenté de devenir semblable aux hommes,
assumant une âme et une intelligence semblables aux leurs;
mais je ne les ai pas tous, du même coup, à ce moment, rendus dieux,
eux les hommes : c'est moi qui suis devenu homme, de mon côté,
et c'est par la foi, par l'observation de mes commandements,
ainsi que par le baptême, dans la divine communion
à mes redoutables mystères, qu'à tous j'accorde la vie.
Et quand je dis : la vie, je désigne mon Esprit divin.
Toutefois qu'ils sachent cela, comme l'a dit Paul :
ceux qui possèdent mon Esprit dans leur cœur,
ils le possèdent qui brille et qui crie vers mon Père,
et par eux il me dit : Oh, abba! mon Père!
Car ils sont devenus enfants de Dieu, et, avec confiance
ils me reconnaissent, me regardent et m'appellent Père,

λέγει δὲ καὶ πρὸς ἕκαστον τῶν αὐτὸ νῦν ἐχόντων
ἐν ἑαυτοῖς παναληθῶς· Ὦ τέκνα, μὴ φοβεῖσθε!
Ἰδοὺ ἐγώ, ὡς βλέπετε, ἐντὸς ὑμῶν ὑπάρχω
καὶ σύνειμι, καὶ τῆς φθορᾶς ἅπαξ καὶ τοῦ θανάτου
ἐλευθερῶ καὶ δείκνυμι τίνος τέκνα καὶ φίλους
ὑμᾶς, ἰδού, πεποίηκα· χαίρετε ἐν κυρίῳ!
Τοῦτο οὖν ἔσται ἀληθὲς σημεῖον τοῖς ἀνθρώποις,
ὅτι Θεοῦ γεγόνασιν υἱοὶ καὶ κληρονόμοι,
ὅτι λαβόντες ἔχουσι τὸ Πνεῦμα μου τὸ Θεῖον,
ἐντεῦθεν τε Χριστιανοὶ χρηματίζουσιν ὄντως
ἀληθείᾳ καὶ πράγματι, οὐκ ὀνόματι μόνῳ. —
Ταῦτα πιστὰ καὶ ποθεινὰ τυγχάνουσι, Χριστέ μου·
οὕσπερ προέγνωκας σαφῶς καὶ δέδωκας γενέσθαι
συμμόρφους τῆς εἰκόνος σου ἐν Πνεύματι τῷ Θείῳ,
καὶ πάντῃ δυνατά ἐστιν αὐτοῖς ὡς κεκλημένοις
εἰς τὴν χαρὰν τὴν ἄφραστον ὑπὸ σου εἰς αἰῶνας.
Τοῖς δὲ λοιποῖς ἀδύνατα πᾶσι δοκοῦσι ταῦτα,
οἳ καὶ διαβάλλοντες ἀπιστοῦσιν εἰς ἅπαν
φρεναπατοῦντες ἑαυτούς, ἢ καὶ παραμυθεῖσθαι
οἴονται οἱ παράφρονες ἐπὶ κεναῖς ἐλπίσιν,
ὑψηγοροῦντες ὡς κομψοὶ τοῖς ἐπηρμένοις λόγοις,
καὶ πρὸς τὰ φίλα ἑαυτῶν ἀλληγοροῦντες ταῦτα
τῶν φοβερῶν σου ἐντολῶν καταφρονοῦσιν ὅλως.

DHORZ — METRUM XV

154 αὐτὸν O ‖ 156 βλέπεται D ‖ 159 χαίρεσθαι D ‖ 165 Σ ὁ πατὴρ D ‖ 166 οἵσπερ D ‖ 170 πᾶσι : πάντα D ‖ ταῦτα δοκοῦσι ∾ D ‖ 171 M ! ‖ καὶ : τινες D ‖ 172 φρεναπατῶντες Z

155. Matth. 28, 20 ; 14, 26. Lc 24, 38-39 159. Phil. 3, 1 161. Gal. 4, 7 164. I Jn 3, 1 167. Rom. 8, 29 168. Mc 9, 23 172. Gal. 6, 3

1. Le nom de chrétien, cf. **40,** 70. Sur le sens de χρηματίζειν cf. **44,** 337.

et Lui, dit à chacun de ceux qui le possèdent actuellement
en eux-mêmes, en toute vérité : « Ne craignez pas, mes enfants!
c'est moi! vous le voyez, je suis au-dedans de vous,
avec vous, et, de la corruption et de la mort, une fois pour toutes,
je vous libère et vous fais voir de qui je vous ai fait devenir,
vous, oui, vous, les enfants et les amis! Réjouissez-vous dans le Seigneur! »
— Car ce sera là le véritable signe que les hommes
sont devenus enfants et héritiers de Dieu :
avoir reçu et posséder mon Esprit divin
et par là mériter vraiment le nom de chrétiens[1]
en vérité et en fait, et pas seulement en titre. »
— Tout cela est digne de foi, ô mon Christ, digne d'amour.
A ceux que tu as connus d'avance, bien connus, ceux à qui tu as donné de devenir
conformes à ton image dans l'Esprit divin,
tout cela est à leur portée, parce qu'ils ont été appelés
par toi-même à la joie ineffable pour les siècles.
Aux autres, à tous les autres cela paraît impossible :
ils critiquent et ne veulent rien croire,
ils s'égarent eux-mêmes, peut-être même pensent-ils
se consoler eux-mêmes, les insensés, avec de vains espoirs!
ils paradent, les vantards, avec leurs discours relevés,
allégorisent[2] sur ces (promesses) dans le sens de ce qui leur plaît,
au mépris complet de tes redoutables commandements.

2. Allégoriser les passages de l'Écriture, cf. *Chap.* **2,** 21 : « Ils disent que ce qui est raconté par les Écritures est impossible : ou bien ils les jugent tout à fait indignes de foi, ou bien ils les interprètent mal (ἀλληγοροῦσι ταῦτα κακῶς) : ils décident que ce qui est dit du présent s'en va au futur, prennent ce qui est dit du futur comme un événement passé ou un fait divers quotidien (*SC* 51, p. 77).

Σὲ γὰρ ζητεῖν οὐ θέλουσιν, ἔχειν γάρ σε δοκοῦσιν ·
εἰ δὲ ὁμολογήσουσι μὴ ἔχειν σε, Θεέ μου,
τότε σε πάντῃ ἄληπτον κηρύσσουσι τοῖς πᾶσι,
καὶ ὡς οὐδεὶς θεάσασθαι ἰσχύει σε ἀνθρώπων,
οὐδὲ ὑπάρχει ὁ αὐτῶν ὑπερέχων ἐν γνώσει.
Ἢ γὰρ τοῖς πᾶσι σε ληπτὸν καὶ προσιτὸν ἀνθρώποις,
ἢ ἄληπτον, ἀπρόσιτον διδάσκουσί σε πάντῃ ·
ὅμως ἐν ἀμφοτέροις δὲ σφάλλονται, μὴ νοοῦντες
τὰ θεῖα καὶ ἀνθρώπινα, ἐσκοτισμένοι ὄντες.
Οἷς βράβευσον φῶς γνώσεως, δὸς χεῖρα φόβου θείου,
δὸς ἀναστῆναι τῆς κακῆς ὑπονοίας τοῦ λάκκου
καὶ εἰς συναίσθησιν ἐλθεῖν ὅτι ἐν λάκκῳ κεῖνται,
ἐν σκότει καὶ καθέζονται, φῶς θεῖον οὐχ ὁρῶντες !
Ὃ μαρτυροῦσιν οἱ αὐτοί, ὃ καὶ ὁμολογοῦσιν,
ἀλλ' ἀπιστοῦσιν ὅτι νῦν εἰσὶν οἱ βλέποντές σε.
Οἷς εἰ μὴ λάμψῃ σου τὸ φῶς καὶ ἴδωσιν ἐν γνώσει,
πῶς ἂν πιστεύσωσι τρανῶς ὅτι ἀξίοις φαίνῃ
καὶ συλλαλεῖς καὶ συνοικεῖς νῦν καὶ εἰς τοὺς αἰῶνας
αὐτοῖς ὡς φίλοις, ὡς πιστοῖς δούλοις σου, καθὼς εἶπας ;
Ἀλλὰ πιστῶν σὺ εἶ Θεός, οὐχὶ δὲ καὶ ἀπίστων,

D H O R Z — METRUM XV

182 λοιπτὸν O ‖ 186 βράβευσιν Z ‖ θείου φόβου ∾ Z ‖ 187 ἀντιστῆναι D ‖ 189 καὶ : τε Z ‖ 190 μαρτυροῦσι ORZ ‖ οἱ : καὶ ORZ ‖ 192 λάμψεις OR λάμψῃς Z ‖ 193 πιστεύωσι ORZ

180. I Tim. 6, 16 — 189. Lc 1, 79 — 195. Jn 15, 15

En effet ils ne veulent pas te chercher, et ils croient te posséder;
ou, s'ils avouent ne pas te posséder, mon Dieu,
alors, ils proclament que tu es absolument insaisissable pour tous,
que personne n'est capable de te voir, parmi les hommes,
et qu'il n'en est pas un qui les dépasse en connaissance.
Ou bien, en effet, ils enseignent que tu es saisissable et accessible
pour tous les hommes, ou bien que tu es insaisissable et totalement inaccessible[1],
mais dans les deux cas ils se trompent, faute de comprendre
les choses divines et humaines, plongés qu'ils sont dans les ténèbres.
Accorde-leur la lumière de la connaissance, tends-leur la main de la crainte de Dieu,
donne-leur de se relever de la fosse de leur mauvaise interprétation
et d'arriver à prendre conscience qu'ils gisent dans une fosse[2],
qu'ils sont assis dans les ténèbres, faute de voir la lumière divine!
C'est ce dont ils témoignent eux-mêmes, c'est ce qu'ils avouent;
mais ce qu'ils refusent de croire, c'est qu'il existe actuellement des hommes qui te voient.
A moins que ta lumière ne brille sur eux et qu'ils ne te voient de façon consciente,
comment croiraient-ils clairement que tu apparais à ceux qui en sont dignes,
que tu parles, que tu habites avec eux, maintenant et pour les siècles
comme avec tes amis, comme avec tes serviteurs fidèles, selon ta parole?
Mais c'est des fidèles que tu es le Dieu, non certes des infidèles,

1. Saisissable pour tous — ou au contraire totalement inaccessible, cf. **27,** 125-134 ; **35,** 10-11.

2. Ils gisent dans une fosse, ils sont assis dans les ténèbres, cf. **24,** 216 et la note. Sur « la main de la crainte de Dieu » (186), on peut la rapprocher de « la main de la confiance » *Euch.* **2,** t. 81, cf. aussi « la main des saints » **54,** 106. Indique la tendresse de Dieu qui nous conduit par cette main.

οὗ χάριν πρὸς αὐτοὺς ὅλως οὐκ ἐπιβλέπεις.
Τοῖς γὰρ ἀπαρνουμένοις σε καὶ λέγουσι μὴ λάμπειν
τὸ φῶς σου τὸ ἀΐδιον εἰς ψυχὰς τῶν ἀξίων,
πῶς σου φωτὸς τὸ πρόσωπον ὑποδείξῃς, σωτήρ μου ;
Οὐδαμῶς, εἰ μὴ κτήσονται πίστιν πολλήν, ὡς εἶπας,
καὶ τὸν νόμον φυλάξουσι τὸν θεῖον σου προθύμως
μέχρι θανάτου ἑαυτοὺς διὰ σὲ ἐκδιδόντες
εἰς ἐργασίαν ἀληθῆ τῶν σοφῶν ἐντολῶν σου.
Τοῦτο οὖν τὸ σωτήριον πάντων τῶν σῳζομένων,
ὁδὸς οὐκ ἔστιν ἄλλη δέ, ὡς εἶπας, ὦ Θεέ μου.
Δὸς ἔλεος, δὸς ἔλεος δεομένοις σου, σῶτερ,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων !
Ἀμήν.

D H O R Z — METRUM XV

197 M ! ‖ χάριν+λόγε D ‖ 198 ἀπαρνομένοις O ‖ 199 ἀξίων : ἁγίων ORZ ‖ 201 κτήσωνται Z ‖ 202 καὶ τὸν νόμον σου τὸν θεῖον φυλάξουσι (φυλάξωσι Z) προθύμως ∾ ORZ ‖ 203 ἐκδιδοῦντες H ‖ 207 σου : σε O ‖ 208 M ! ‖ Σ στίχοι σθ' D

201. Matth. 15, 28 — 206. Matth. 7, 14

1. Nous avons vu que Syméon insiste sur la foi (**42,** 48) et sur les

et c'est pourquoi sur les seconds tu ne jettes pas un regard.
Comment, en effet, à ceux qui te renient, qui prétendent que ton éternelle lumière
ne brille pas pour les âmes qui en sont dignes,
comment montrerais-tu, mon Sauveur, le visage de ta lumière? 200
Impossible! à moins qu'ils n'acquièrent une grande foi[1], selon ta parole,
et n'observent de tout leur cœur ta loi divine
jusqu'à la mort, en s'adonnant eux-mêmes, à cause de toi,
à la pratique véritable de tes très sages commandements.
Voilà donc ce qu'est le salut de tous les sauvés[2], 205
et il n'est pas d'autre route, comme tu l'as dit, mon Dieu.
Accorde ta pitié, Sauveur, accorde ta pitié, à ceux qui te prient,
maintenant et toujours et dans les siècles des siècles! Amen.

œuvres de la foi (**50,** 220) mais sur une foi « consciente », c'est-à-dire qui possède déjà une certaine vision (**52,** 70).

2. Le salut de tous les sauvés. Cette expression est expliquée par le vers suivant : « il n'y a pas d'autre route ». On retrouve cette expression, qui a frappé Nicétas, dans le titre de l'hymne **40**.

LVI

Εὐχὴ πρὸς Θεὸν ἐπὶ τοῖς γεγονόσιν εἰς αὐτὸν ἱκετήριός τε ὁμοῦ καὶ εὐχαριστήριος

Κύριε, δός μοι σύνεσιν, κύριε, δός μοι γνῶσιν,
κύριε, δίδαξον κἀμὲ ποιεῖν τὰς ἐντολάς σου!
Κἂν ἥμαρτον ὡς ἄνθρωπος ὑπὲρ ἄνθρωπον, οἶδας,
ἀλλὰ σὺ τῇ οἰκείᾳ σου, Θεέ μου, εὐσπλαγχνίᾳ
ἠλέησάς με τὸν πτωχόν, τὸν ὀρφανὸν ἐν κόσμῳ,
καὶ ἐποίησας, δέσποτα, ὃ μόνος σὺ γινώσκεις·
ἀπὸ πατρὸς καὶ ἀδελφῶν, συγγενῶν τε καὶ φίλων,
ἀπὸ γῆς τῆς γενέσεως, ἐξ οἴκου γονικοῦ μου
ὡς ἐξ Αἰγύπτου σκοτεινῆς, ὡς ἐξ ᾅδου μυχῶν με
— οὕτω γὰρ ἐμοὶ δέδωκας, τῷ εὐτελεῖ σου δούλῳ,
περὶ ἐκείνων ἐννοεῖν καὶ λέγειν ἐν συνέσει —
ἀποχωρίσας, εὔσπλαγχνε, καὶ προσλαβόμενός με
καὶ τῇ χειρί σου τῇ φρικτῇ κρατήσας ἤγαγές με,
εἰς ὃν ηὐδόκησας ἐν γῇ γενέσθαι μου πατέρα,
καὶ τοῖς ποσὶ προσέρριψας αὐτοῦ καὶ ταῖς ἀγκάλαις.

D (E) F H O R v Z — Metrum XV

Tit. τοῦ νέου θεολόγου τοῦ συμεὼν [εὐχὴ+ν ‖ πρὸς : εἰς Z ‖ Σ πατρικόν ν ‖ 4 σὺ : σοι D ‖ εὐσπλαχνία F ‖ 6 σὺ μόνος ∾ ν ‖ 7 ἀδελφῶν+καὶ D ‖ τε > D ‖ 8 τῆς γῆς ∾ ORZ ‖ γεννέσεως O ‖ 10 οὕτως D ‖ 14 εὐδόκησας ORZ ‖ ἐν γῇ > ORZ

2. Ps. 142, 10 — 7. Mc 10, 29 s. — 8. Gen. 12, 1 — 9. Sag. 17, 13

---

1. Syméon remercie Dieu de l'avoir retiré du monde et confié à son Père spirituel (1-25). Étranger sur cette terre, il se trouve avec le Seigneur, tandis que les amis du monde ne connaîtront plus tard

LVI

Prière à Dieu pour tout ce qui s'est produit en l'auteur, à la fois de demande et d'action de grâces[1].

Seigneur, donne-moi l'intelligence, Seigneur, donne-moi la connaissance,
Seigneur, apprends-moi à faire, moi aussi, tes volontés!
Même si, comme un homme, j'ai péché — et plus que (tout) homme, tu le sais! —
toi, mon Dieu, par cette miséricorde qui n'est qu'à toi,
tu as eu pitié de moi, l'indigent, l'orphelin seul au monde,
et tu as fait pour moi ce que toi seul, Maître, tu connais :
de mon père et de mes frères, de mes parents et de mes amis,
de ma terre natale, de ma maison paternelle,
comme d'une ténébreuse Égypte[2], comme des profondeurs de l'Hadès
— puisque tu m'as accordé, à moi ton chétif serviteur,
la sagesse de les considérer et de les nommer ainsi —
tu m'as retiré, Compatissant, et tu m'as recueilli,
tu m'as saisi de ta main redoutable et conduit
à celui qui, selon ton bon plaisir, est devenu mon Père sur cette terre[3],
tu m'as jeté à ses pieds, (tu m'as fait tomber) dans ses bras,

que le malheur (25-39). Cet Hymne porte le n° 35 dans Z, le n° 38 dans Pontanus, *PG* 120, 594 C - 595 B.

2. Une ténébreuse Égypte. Αἴγυπτος θλῖψις ἢ σκότος (*Onomastica sacra*, éd. Wutz, p. 154), cf. *Cat.* **6**, l. 138 : « Ils sont demeurés en Égypte, c'est-à-dire dans les ténèbres de leurs passions et de leurs plaisirs. » *SC* **104**, p. 26. Cette comparaison est longuement développée dans l'hymne **18**. Voir la note au vers 140.

3. Il s'agit évidemment de Syméon Eulabès, son père spirituel.

Κἀκεῖνος με προσήγαγε τῷ σῷ Πατρί, Χριστέ μου,
καὶ σοὶ διὰ τοῦ Πνεύματος, — ὦ Τριάς, ὁ Θεός μου, —
κλαίοντα ὡς τὸν ἄσωτον καὶ προσπίπτοντα, Λόγε,
καθὼς αὐτὸς ἐπίστασαι, ὅτι ἐδίδαξάς με,
καὶ σὺ οὐκ ἀπηξίωσας υἱόν σου μὲ καλέσαι.
Ὦ ἀναξίου στόματος καὶ ῥυπαρῶν χειλέων,
ὦ λόγου γλώσσης πενιχρᾶς ὑμνεῖν σε ἀπορούσης,
εὐχαριστεῖν τε καὶ λαλεῖν τὰς σὰς εὐεργεσίας,
ἃς εἰς ἐμὲ τὸν ὀρφανὸν ἐποίησας καὶ ξένον,
ξένον ὑπάρχοντα ἐν γῇ. Οἱ γὰρ σοὶ κόσμου ξένοι,
τὰ δέ γε σὰ καὶ τὰ τῶν σῶν ὀφθαλμοὶ οὐχ ὁρῶσιν,
γλῶσσα λαλεῖν οὐ δύναται, οὐδὲ κόσμος χωρῆσαι.
Διὰ τοῦτο οὖν, δέσποτα, μισεῖ ἡμᾶς ὁ κόσμος,
ἀποδιώκει, λοιδορεῖ, φθονεῖ, μαίνεται, κτείνει
καὶ πάντα πράσσει καθ' ἡμῶν περιπίπτων ἐν τούτοις·
ἡμεῖς δέ, ὡς εὐδόκησας, οἱ ταπεινοί σου δοῦλοι
ἐν ἀσθενείᾳ ἰσχυροί, ἐν πενίᾳ πλουτοῦμεν,
ἐν πάσῃ θλίψει χαίρομεν ὄντες ἔξω τοῦ κόσμου.
Ἡμεῖς, ὦ δέσποτα, σὺν σοί, κόσμος δ' ἔχει τὸ σῶμα.
Λοιπόν, πλανᾶται ὁ τυφλὸς πηλὸν κατέχων μόνον,
ὃς οὐδ' αὐτὸν κερδήσει· δώσει γάρ, ὡς ὑπέσχου,
ἐν τῇ ἐσχάτῃ σάλπιγγι πνευματικὸν καὶ τοῦτον,
καὶ τότε μόνος τὰ κακὰ τὰ ἴδια κερδήσει
σὺν τοῖς ὁμόφροσιν αὐτοῦ καὶ τυφλοῖς φιλοκόσμοις.

D (E) F H O R v Z — METRUM XV

17 ὁ : ὦ O ‖ 20 σὺ : σοι D ‖ υἱῷ FHv ‖ 26 ὁρῶσι OvZ ‖ 30 πράσσει : πρέπει Z ‖ 31 ηὐδόκησας v Z ‖ 36 δώσῃς D ‖ 38 τότε μόνος : τούτῳ μόνῳ F ‖ 39 Σ στίχοι λθ' DH

18. Lc 15, 18 s. 25. Hébr. 11, 13 26. I Cor. 2, 9 27. Jn 21, 25 28. Jn 15, 19 32. I Cor. 1, 25. II Cor. 8, 9 33. II Cor. 7, 4 37. I Cor. 15, 52

1. Orphelin, étranger. Cf. les confidences de l'hymne **20,** 98 s. et **58,** 14.

2. Sur les persécutions que Syméon dut supporter dans le monde, cf. **20,** 140-164.

et lui m'a amené près de ton Père, ô mon Christ,
près de toi-même par l'Esprit — ô Trinité, mon Dieu! —
pleurant comme le prodigue et me prosternant, ô Verbe,
comme toi-même le sais pour me l'avoir enseigné,
et toi, tu n'as pas dédaigné de me nommer ton fils.
Oh! bouche indigne, lèvres souillées!
Oh! paroles d'une langue indigente, incapable de te louer,
de te rendre grâces et d'exprimer tes bienfaits,
ceux dont tu m'as comblé, moi, l'orphelin, l'étranger[1],
étranger sur cette terre — oui! ceux qui sont à toi sont étrangers au monde,
mais tes biens et ceux de tes (serviteurs), les yeux ne les voient pas,
la langue ne peut les dire, ni le monde les contenir.
Voilà donc pourquoi, Maître, le monde nous hait,
nous poursuit, nous insulte, nous jalouse, s'emporte et nous tue
et n'épargne rien, quand il se jette contre nous dans ces excès[2];
mais nous, selon ton bon plaisir, nous tes humbles serviteurs,
dans la faiblesse nous sommes forts, dans la pauvreté, riches,
dans toute adversité nous nous réjouissons, car nous sommes hors du monde;
nous, Seigneur, nous sommes avec toi et le monde ne possède que nos corps.
Alors, il s'égare, l'aveugle, maître seulement d'un peu de glaise
qu'il ne gardera même pas! car il devra la rendre, selon ta promesse,
devenue elle aussi spirituelle, au son de la trompette finale,
et alors, tout seul, il ne gardera que les maux qui lui sont dus,
à lui et à ceux qui partagent ses sentiments, les aveugles amis du monde.

LVII

Ὅτι ὁ τὸν Θεὸν ποθήσας μισεῖ τὸν κόσμον

Σκιᾷ κρατοῦμαι καὶ ἀλήθειαν βλέπω,
ὃ οὐδέν ἐστιν ἢ ἐλπὶς ἡ βεβαία.
Ποία οὖν ἐλπίς ; Ἣν ὀφθαλμοὶ οὐκ εἶδον.
Αὕτη τί ἐστι ; Ζωή, ἣν ἅπαντες ποθοῦσιν.
Ἡ δὲ ζωὴ τί ἢ Θεὸς κτίστης πάντων ;
Τοῦτον πόθησον καὶ μίσησον τὸν κόσμον !
Κόσμος θάνατος, τί γὰρ ἄρρευστον ἔχει ;

D (E) F H O v Z — METRUM XII

Tit. ποθήσας : ἐξ ὅλης ποθήσας ψυχῆς D ποθήσας ἐξ ὅλης ψυχῆς Z ‖ 2 ἢ : ἡ O ‖ 4 M ! ‖ ἐστιν Dv ‖ πάντες O ‖ 5 κτίστις O ‖ 6 μισήσῃς D μισήσεις F μίσησε H ‖ 7 ἄρευστον O ‖ Σ στίχοι ζ' DH

2. II Cor. 1, 6 — 3. I Cor. 2, 9 — 5. Jn 14, 6 — 6. I Jn 2, 15

LVII

Que celui qui chérit Dieu hait le monde[1].

L'ombre me tient prisonnier, et je regarde la vérité,
qui[2] n'est rien d'autre que la ferme espérance.
Quelle espérance[3]? celle que les yeux n'ont pas vue.
En quoi consiste-t-elle? en cette vie que tous désirent.
Mais qu'est-ce que la vie, sinon Dieu, le créateur de tout?
Désire-le, lui, et prends le monde en haine!
Le monde, c'est la mort : qu'a-t-il en effet de durable?

1. Ce petit hymne porte le n° 25 dans Z, le n° 39 dans Pontanus, *PG* 120, 395 B.

2. ὅ. Relatif neutre par attraction de l'attribut οὐδέν.

3. Cette espérance, c'est le ciel (*I Cor.* 2, 9), c'est la vie qui commence dès ici-bas, c'est Dieu en nous participé. Même affirmation en **55,** 147 : « quand je dis la vie, je désigne mon Esprit divin ».

LVIII

Διδασκαλία κοινὴ σὺν ἐλέγχῳ πρὸς πάντας, βασιλεῖς, ἀρχιερεῖς, ἱερεῖς, μονάζοντας, λαϊκούς, ὑπὸ στόματος λαληθεῖσα καὶ λεγομένη Θεοῦ

Ὦ Χριστέ, παράσχου μοι λόγους σοφίας,
λόγους γνώσεως καὶ συνέσεως θείας!
Σὺ γὰρ οἶδας μου τὸ ἀσθενὲς τοῦ λόγου
καὶ ἀμέτοχον μαθήσεως τῆς ἔξω·
σὺ ἐπίστασαι, ὅτι σὲ μόνον ἔχω
ζωὴν καὶ λόγον καὶ γνῶσιν καὶ σοφίαν,
σωτῆρα Θεὸν καὶ προστάτην ἐν βίῳ
καὶ ἀναπνοὴν τῆς ταπεινῆς ψυχῆς μου,
ὁ ξένος ἐγὼ καὶ ταπεινὸς τοῖς λόγοις.
Σὺ εἶ ἐλπίς μου, σὺ εἶ ἀντίληψίς μου,
σὺ ἡ σκεπή μου, σὺ ἡ καταφυγή μου,
σὺ τὸ καύχημα, ὁ πλοῦτος μου, ἡ δόξα.
Σὺ ἐκ τοῦ κόσμου ἠθέλησάς με, λόγε,
κατ' εὐσπλαγχνίαν προσλαβέσθαι τὸν ξένον,

D H O R Z — Metrum XII

Tit. καὶ [λαϊκοὺς+ORZ ‖ λαληθεῖσα καὶ > H ‖ λεγομένη : λαλουμένη ORZ ‖ 10 ἡ [ἐλπὶς+ORZ ‖ εἶ² > Z ‖ ἡ [ἀντίληψις+ORZ ‖ 11 > ORZ ‖ ἡ : εἶ D (bis)

1-2. I Cor. 12, 8 3. I Cor. 2, 3-4. II Cor. 10, 10 10. Ps. 21, 9 ; 88, 19 11. Ps. 120, 5 ; 90, 2 12. Deut. 10, 21. Prov. 22, 4

---

1. Après avoir demandé au Christ d'inspirer ses paroles (1-24), Syméon interpelle tous les hommes : empereurs insouciants de leur

LVIII

Instruction mêlée de reproches, adressée à tous les hommes, empereurs, pontifes, prêtres, moines, laïcs, et présentée comme reçue de la bouche de Dieu[1].

Ô Christ, accorde-moi des paroles de sagesse,
des paroles de connaissance et d'intelligence divine!
Car tu connais l'infirmité de ma parole
et combien elle est étrangère à la culture profane[2],
tu sais que je te tiens, toi seul,
pour ma vie, ma parole, ma connaissance, ma sagesse,
le Dieu qui me sauve et me protège en cette vie
et qui soulage mon âme humiliée,
moi, l'étranger aux paroles sans valeur.
C'est toi, mon espoir, toi mon recours,
toi mon abri, toi mon refuge,
toi ma fierté, ma richesse et ma gloire.
C'est toi, Verbe, qui dans ta compassion
as voulu me prendre du milieu du monde, moi l'étranger,

propre salut (31-63), évêques orgueilleux (64-86) et inconscients de la pureté qu'exige le sacerdoce (87-144). Lequel des prêtres d'aujourd'hui à la conscience pure, notamment de toute simonie ? (145-221). Le prêtre doit imiter le Christ jusqu'au renoncement total (222-267), mais ceux d'aujourd'hui ne pensent qu'à l'argent (268-305) et persécutent ceux qui font exception (306-323). Pour finir, apostrophe aux moines (324-369) et à tout le peuple chrétien (370-401). Cet Hymne porte le n° 50 dans Z. Il n'existe pas dans Pontanus (cf. *Introd.* p. 22, 29 et 43).

2. Syméon se fait une gloire d'être un illettré, trait qui le rapproche des Apôtres, cf. **3,** 16 et la note.

τὸν ἀνάξιον, τὸν εὐτελῆ καὶ χείρω
παντὸς ἀνθρώπου, παντὸς ἀλόγου ζώου,
καὶ διὰ τοῦτο θαρρῶν σου τῷ ἐλέει
καὶ αἰτοῦμαι σε καὶ λαλῶ καὶ προσπίπτω·
δὸς λόγον εὐθῆ, δὸς ἰσχύν, δός μοι κράτος
εἰπεῖν πρὸς πάντας τοὺς σοὶ ἀνακειμένους
καὶ λατρεύοντάς σοι, βασιλεῦ τῶν πάντων,
λαλῆσαι μύσταις, ἄρχουσί τε καὶ λάτραις,
τοῖς δοκοῦσι σε βλέπειν καὶ θεραπεύειν
καὶ δουλεύειν σοι ὡς δεσπότῃ γνησίως.
Ἄνθρωποι πάντες, βασιλεῖς καὶ δυνάσται,
ἱερεῖς, ἐπίσκοποι, μοναστὰι καὶ μιγάδες,
μὴ ἀπαξιώσητε φωνῆς ἀκοῦσαι
καὶ λόγων ἐμοῦ τοῦ εὐτελοῦς ἀνθρώπου,
ἀλλὰ καρδίας ἀνοίξατέ μοι ὦτα
καὶ ἀκούσατε καὶ σύνετε, τί λέγει
ὁ πάντων Θεὸς καὶ πρὸ πάντων αἰώνων,
ὁ ἀπρόσιτος, ὁ μόνος παντοκράτωρ,
οὗ ἐν τῇ χειρὶ πνοὴ πάντων τῶν ὄντων! —
Βασιλεῖς! Καλῶς ποιεῖτε πολεμοῦντες τὰ ἔθνη,
ἐὰν μὴ αὐτοὶ τὰ τῶν ἐθνῶν ποιοῦντες
ἔργα καὶ ἔθη καὶ βουλάς τε καὶ γνώμας
καὶ διὰ πολλῶν ἔργων ὑμῶν καὶ λόγων
ἀπαρνῆσθε μέ, τὸν ὑμῶν βασιλέα.
Κρεῖσσον ἦν ὑμῖν λόγους ἐμοὺς φυλάσσειν

D H O R Z — METRUM XII

17 θαρρῶ O ‖ 18 καὶ¹ > D ‖ λαλῶ : καλῶ H ‖ 19 εὐθύ D εὐθύν Z ‖ 21 λατρεύοντας : στρατευομένους D ‖ ἁπάντων D ‖ 26 μοναστὰι : μοναχοὶ ORZ ‖ 27 ἀπαξιώσεται D ‖ 28 ἐμῶν O ‖ 34 M ! ‖ βασιλεῖς, καὶ γὰρ καλῶς ὄντως ποιεῖτε καὶ δικαίως γε πολεμοῦντες τὰ ἔθνη D ‖ Σ θεῖος λόγος D ‖ 35 > O ‖ ποιῆτε Z ‖ 36 ἔργα καὶ ἔθη > O ‖ 38 ἀπαρνήσασθε OR ἀπαρνῆσθε Z ‖ ἐμὸν O

30. Mc 7, 14 33. Dan. 5, 23 39. Lc 11, 28

l'indigne, l'homme de rien, et pire
que tout homme, pire que toute bête brute ;
ce pourquoi je mets ma confiance dans ta pitié,
je te supplie, je te parle et je tombe (à tes genoux) :
donne-moi une parole droite, donne-moi la vigueur, donne-moi la force
de m'adresser à tous ceux qui sont voués à ton service[1]
et te rendent hommage, Roi de l'Univers,
de parler aux initiés, princes comme serviteurs,
à ceux qui croient te voir, te rendre leurs devoirs
et te servir sincèrement comme leur Maître.
Vous tous[2], hommes, empereurs et puissants,
prêtres, évêques, moines et gens mariés,
ne dédaignez pas d'écouter ma voix
et mes paroles à moi, l'homme de rien,
mais ouvrez-moi les oreilles de votre cœur,
écoutez et comprenez ce que dit
le Dieu de tous et qui est avant tous les siècles,
l'inaccessible, le seul Tout-Puissant,
qui tient en sa main la respiration de tous les êtres.
« Rois, vous faites bien de guerroyer contre les nations,
pourvu que vous-mêmes n'alliez pas, imitant les nations
dans leurs œuvres, leurs mœurs, leurs volontés, leurs opinions,
par l'ensemble de vos œuvres et de vos paroles,
me renier moi votre Roi[3].
Mieux vaudrait pour vous garder mes paroles,

1. ἀνάκειμαι avec le datif, être voué, consacré au service de. Se dit des personnes comme des sanctuaires.

2. Syméon n'hésite pas à prévenir le jugement de Dieu et à le proclamer à toutes les catégories de l'humanité, cf. **29**, 21 s. : « Ô race entière des hommes, des rois et des princes... » et surtout *Cat.* **5**, 497-663.

3. Syméon adresse les mêmes reproches aux empereurs dans la *Cat.* **5**, 573-636. Voir surtout la note : *SC* 96, p. 428-429.

ὀρθῶς τε ποιεῖν τὰς ἐντολάς μου πάσας,
καὶ ἐν πτωχείᾳ τῇ μακαριζομένῃ
τὸν ἀπράγμονα μεταδιώκειν βίον.
Τί γὰρ ὄφελος διεκδικεῖν τὸν κόσμον
ἀπὸ θανάτου καὶ προσκαίρου δουλείας,
αὐτοὺς δὲ δούλους καὶ παθῶν καὶ δαιμόνων
τοῖς ἔργοις ὑμᾶς γίνεσθαι καθ' ἑκάστην
καὶ κληρονόμους τοῦ πυρὸς τοῦ ἀσβέστου ;
Πάντα γὰρ καλά, ὅσα τις ἄλλα πράσσει
ἔργα δι' ἐμὲ καὶ τὴν πρὸς τὸν πλησίον
συμπάθειάν τε καὶ ἐλεημοσύνην,
πρῶτον δὲ πάντων, εἰ ἑαυτὸν οἰκτείρῃ
καὶ τοὺς λόγους μου πάσῃ σπουδῇ φυλάξῃ
καὶ μετάνοιαν ἐνδείξηται γνησίαν
ὑπὲρ τῶν πρώην ἴσως ἐξειργασμένων,
ἔπειτ' ἐν τούτοις μηκέτι ἐπιστρέψῃ,
ἀλλ' ἐμμένῃ μου τοῦ δεσπότου τοῖς λόγοις,
τοῖς προστάγμασι καὶ νόμοις ἀληθείας,
καὶ οὕτως ποιῇ ἀπαραβάτως πάντα
μέχρι θανάτου καὶ μηδὲ ψιλὸν λόγον,
μηδὲ κεραίαν μίαν τῶν γεγραμμένων
παραβλέψῃται· τοῦτο γάρ μοι θυσία,
τοῦτο μοι θυμίαμα καὶ προσφορὰ καὶ δῶρον·
χωρὶς δὲ τούτων ἐθνικῶν ὑμεῖς χείρους.
Τῶν ἐπισκοπῶν οἱ πρόεδροι, σύνετε,
οἱ ὄντες ἐκσφράγισμα ἐμῆς εἰκόνος,

D H O R Z — METRUM XII

48 καλὰ+καὶ H ‖ ὅσα : ὃ O ‖ 50 ἐλεησύνην O ‖ 53 ἐνδείξεται H ‖ 58 οὕτω Z ‖ 59 μηδὲ ψιλὸν : μὴ ψιλόν τι D ‖ 61 παραβλέψασθαι D παραβλέψαι H παραβλέψεται O ‖ 62 τοῦτο μοι καὶ θυμίαμα, προσφορά τε καὶ δῶρον D ‖ 63 χείρω D ‖ 64 οἱ πρόεδροι σύνετε τῶν ἐπισκόπων ∽ D ‖ 65 ἐκφράγισμα Z ‖ ἐμῆν O

41. Matth. 5, 3 47. Mc 9, 43 55. Matth. 24, 18 60. Matth. 5, 18 65. I Cor. 9, 2

pratiquer droitement tous mes commandements,
et mener la vie d'un simple particulier[1]
dans la pauvreté que j'ai proclamée bienheureuse.
Quel profit, en effet, à affranchir le monde
de la mort et de la servitude temporelles,
en devenant vous-mêmes, chaque jour, par vos œuvres,
esclaves des passions et des démons
et héritiers du feu qui ne s'éteint pas?
Toutes les œuvres, en effet, sont bonnes, que l'on fait
à cause de moi et par compassion,
par miséricorde envers le prochain;
mais la première de toutes, c'est de se prendre en pitié soi-même[2],
de mettre tous ses soins à garder mes paroles
en montrant un repentir sincère
pour les (mauvaises) actions qu'on a pu faire auparavant;
ensuite, de ne plus y retomber
mais de persévérer dans mes paroles, à moi le Maître,
dans mes ordonnances et mes lois de vérité,
et agir ainsi en toute chose sans défaillance
jusqu'à la mort, sans négliger
ni une simple parole ni un seul trait
de ce qui est écrit : car c'est là pour moi un sacrifice,
c'est là un encens, une offrande, un don :
et, sans cela, vous êtes pour moi pires que des païens! »
— « Et vous, chefs des diocèses, comprenez!
vous, l'empreinte de mon image,

1. ἀπράγμων, comme ἰδιωτικός : qui ne s'occupe pas des affaires publiques.

2. La première des miséricordes, nous devons l'exercer à notre égard, cf. *Cat.* **9**, l. 117-170. Grégoire de Nazianze aussi interprète la parabole de la miséricorde (*Matth.* 25, 31-46) en invitant à se dévouer à son âme, *P G* 36, 345 B, 393 C.

οἱ συλλαλεῖν μοι ἀξίως τεταγμένοι,
οἱ τῶν δικαίων ὑπερκείμενοι πάντων
ὡς ὄντες εἰς ὄνομα τῶν μαθητῶν μου
κάμοῦ φέροντες τὸν θεῖον χαρακτῆρα,
οἱ καὶ τοῦ κοινοῦ ἐλαχίστου συλλόγου
τὴν ἐξουσίαν τοιαύτην εἰληφότες,
οἵαν ἔλαβον ἐκ τοῦ Πατρὸς ὁ Λόγος,
ὁ καὶ σαρκωθεὶς Θεὸς ὢν κατὰ φύσιν
καὶ διπλοῦς γενόμενος ταῖς ἐνεργείαις,
ταῖς θελήσεσι, ταῖς φύσεσιν ὡσαύτως,
ὃς ἀμέριστος, ἀσύγχυτος ὑπάρχω
Θεὸς ἄνθρωπος, ἄνθρωπος Θεὸς πάλιν·
— ὡς γὰρ ἄνθρωπος χερσὶν ὑμῶν κρατεῖσθαι
κατηξίωσα, ὡς Θεὸς δὲ ὑπάρχων
παντάπασιν ἄληπτός εἰμι πηλίναις
χερσὶ καὶ ἀόρατος τοῖς μὴ ὁρῶσι
καὶ ἀπρόσιτος ὁ σφαγεὶς ὑπὲρ πάντων,
ὁ διπλοῦς ἐγὼ ἐν μιᾷ ὑποστάσει —
τῶν ἐπισκόπων οἱ διὰ τοῦτο
πάντων κατεπαίρεσθε τῶν ἐλαχίστων
ὡς ταπεινῶν τε καὶ κάτω καθημένων·
τῶν ἐπισκόπων οἱ πόρρω τῆς ἀξίας,
οὐχ ὧν τῷ λόγῳ καὶ συντρέχει ὁ βίος
καὶ σφραγίς ἐστι τῆς τούτων θεοπνεύστου
διδασκαλίας καὶ θεορρημοσύνης,
ἀλλ' ὧν τῷ λόγῳ ἀντίκειται ὁ βίος
καὶ οἷς ἄγνωστα τὰ φρικτά μου καὶ θεῖα,
οἳ καὶ κρατεῖν οἴονται ἄρτον πῦρ ὄντα

D H O R Z — METRUM XII

69 κάμοὶ D ‖ 72 ἔλαβεν H ‖ 75 θελήσεσιν D ‖ 77 ἄνθρωπος > Z ‖ 78 ὑμῶν+ἠξίωσα Z ‖ 79 κατηξίωσα : κατηξίωσας OR > Z ‖ 80 εἰμι+χερσὶ Z ‖ 81 χερσὶ > Z ‖ 84 M ! ‖ τοῦτο+μᾶλλον D ‖ 85 κατεπαίρεσθαι DZ ‖ 88 συντρέχει καὶ ∽ ORZ ‖ 90 τε [καὶ+Z

72. Jn 17, 2 — 78. Matth. 26, 45.50

vous, établis pour vous entretenir avec moi dignement,
vous, placés au-dessus de tous les justes
puisque vous tenez la place de mes disciples
et portez ma divine effigie,
vous qui, même sur la moindre communauté,
avez reçu une puissance comme celle
que j'ai reçue de mon Père, moi le Verbe
qui, Dieu par nature, me suis incarné
et suis devenu double par les énergies
et par les volontés ainsi que par les natures[1],
sans division ni mélange,
Dieu-Homme aussi bien qu'Homme-Dieu
— car en tant qu'homme j'ai daigné me laisser arrêter
par vos mains, mais en tant que Dieu
je reste insaisissable, totalement insaisissable, pour des mains
faites de boue, invisible à ceux qui ne voient pas (clair),
et inaccessible, moi immolé pour tous les hommes,
moi double en une seule hypostase —.
Vous, évêques, qui pour cette raison
traitez avec hauteur tous les petits
comme des êtres chétifs et tout à fait inférieurs,
vous, évêques qui manquez à vos devoirs
— je ne dis pas ceux dont la vie correspond à leurs paroles
et constitue le sceau de leur enseignement
inspiré, de leur divine éloquence,
mais ceux dont la vie contredit les paroles,
à qui demeurent inconnus mes redoutables et divins (mystères),
qui s'imaginent tenir du pain alors que c'est du feu,

1. Deux natures, deux énergies, deux volontés, cf. **32,** 92 et la note.

καὶ ὡς ψιλοῦ μου καταφρονοῦσιν ἄρτου
καὶ ψωμὸν ὁρᾶν καὶ ἐσθίειν δοκοῦσι,
τὴν ἀόρατον μὴ ὁρῶντες μου δόξαν·
τῶν ἐπισκόπων οἱ πολλοὶ ἐξ ὀλίγων,
οἱ ὑψηλοί τε καὶ τεταπεινωμένοι
τὴν κακὴν ταπείνωσιν καὶ ἐναντίαν,
ἣν δόξαν θηρώμενοι τὴν τῶν ἀνθρώπων
κἀμὲ παραβλέποντες τὸν κτίστην πάντων
ὡς πτωχὸν καὶ πένητα ἀπερριμμένον,
ἀναξίως ἅπτονται τοῦ σώματός μου
καὶ ὑπερέχειν τῶν πολλῶν ἐκζητοῦντες
ἀκλήτως εἰσέρχονται ἐμῶν ἀδύτων
ἔνδον, τοῦ νυμφῶνος τε τῶν ἀπορρήτων
ἐπιβαίνουσι χιτῶνος δίχα
τῆς χάριτός μου, ἣν ἔλαβον οὐδέπω,
καὶ ἃ μὴ βλέπειν τούτοις θέμις, ⟨ὁρῶσι,⟩
καὶ μακροθυμῶ ὁ φιλάνθρωπος ἄγαν,
βαστάζων αὐτῶν τὴν ἀναίσχυντον τόλμαν.
Εἰσέρχονται δέ, ὡς φίλῳ μοι λαλοῦσιν,
ᾧ οὐδ' ὡς δοῦλοι ἐνέμειναν τῷ φόβῳ,
καὶ δεικνύουσιν ἑαυτοὺς ὡς οἰκείους,
οἱ μηδὲ γνωρίζοντες τὴν ἐμὴν χάριν,
καὶ μεσιτεύειν τοὺς ἄλλους ὑπισχνοῦνται,
οἱ πολλῶν ὑπεύθυνοι πταισμάτων ὄντες.
Ἔξωθεν καλῶς στολίζοντες τὸ σῶμα
λαμπροὶ τῷ δοκεῖν καὶ καθαροὶ ὁρῶνται,
ψυχὰς δὲ χείρους πηλοῦ τε καὶ βορβόρου,

D H O R Z — METRUM XII

94 μου : με D ‖ ἄρτου : ἄρα D ‖ 95 δοκοῦσιν H ‖ 106, 109, 107, 108 ∽ H ‖ 107 M ! ‖ 109 < ὁρῶσι > coni., sed etiam possibile est inserere < βλέπουσιν > inter καὶ et ἃ ‖ 110-155 > H ‖ 111 > ORZ ‖ 112 φίλωμι O ‖ 113 ᾧ : οὗ ORZ ‖ 117 ὑπεύθενοι D ‖ 120 δὲ χείρους : τε χείρω D

qui me méprisent comme un pain ordinaire,
qui croient voir et manger une (simple) bouchée,
sans voir ma gloire invisible[1].
Vous, évêques, — et c'est la grande majorité,
ceux qui s'exaltent déjà rabaissés
par le funeste, par le redoutable abaissement,
ceux qui poursuivent la gloire qui vient des hommes
et détournent les yeux de moi, le Créateur de tous les êtres,
comme d'un pauvre, d'un mendiant méprisé de tous;
ils touchent indignement mon corps
et cherchent à dominer la foule,
ils pénètrent, sans être appelés, à l'intérieur
de mon sanctuaire et, sans la robe nuptiale,
entrent au banquet de mes mystères,
(sans la robe) de ma grâce, faute de l'avoir reçue,
ils <voient>[2] ce qu'il leur est interdit de contempler :
et je patiente, dans mon extrême amour pour les hommes,
je supporte leur audace effrontée.
Ils entrent, ils me parlent comme à un ami,
moi à qui ils ne sont même pas restés (fidèles) comme des
esclaves dans la crainte;
ils se présentent comme mes familiers,
eux qui ne reconnaissent même pas ma grâce;
ils se font fort de servir aux autres de médiateurs,
eux chargés de fautes sans nombre.
Parce qu'au-dehors leur corps est bien habillé,
ils semblent à qui les voit brillants et purs,
mais pires que la boue et la fange,

98. Matth. 23, 12 100. Jn 12, 43 103. I Cor. 11, 27
107. Matth. 22, 11 118. Matth. 23, 26-27

1. Cf. *Cat.* 5 où Syméon fait les mêmes reproches aux évêques : manque de respect pour l'Eucharistie et simonie (l. 654 s.).
2. Ici, le texte des manuscrits est manifestement corrompu. Il faut suppléer un verbe.

μᾶλλον δὲ παντὸς ἰοῦ θανατηφόρου
κέκτηνται, οἱ δείλαιοι ἐν πονηρίᾳ.
Ὥσπερ γὰρ πάλαι Ἰούδας ὁ προδούς με
λαβὼν τὸν ἄρτον ἐξ ἐμοῦ ἀναξίως
ἔφαγεν αὐτὸν ὡς μέρος κοινοῦ ἄρτου,
καὶ διὰ τοῦτο ὁ Σατανᾶς εἰσῆλθεν
εἰς τοῦτον εὐθὺς καὶ ἀναιδῆ προδότην
ἀπειργάσατο ἐμοῦ τοῦ διδασκάλου,
ὑπουργὸν αὐτὸν λαβόμενος καὶ δοῦλον
καὶ ἐκπληρωτὴν τῶν αὐτοῦ θελημάτων,
οὕτω καὶ οὗτοι πανθάνουσιν ἀγνώστως,
ὅσοι τολμηρῶς καὶ αὐθαδῶς τῶν θείων
ἀναξίως ἅπτονταί μου μυστηρίων,
οἱ προῦχοντες μάλιστα τῶν ἄλλων θρόνοις,
οἱ τοῦ βήματος, οἱ τῆς ἱερωσύνης,
οἱ τὸ συνειδὸς καὶ πρὸ τοῦ βεβλαμμένον
καὶ μετὰ τοῦτο πάντως κατεγνωσμένον
ἔχοντες καὶ βαίνοντες αὐλῇ μου θείᾳ,
καὶ ἀναισχύντως ἵστανται τοῖς ἁδύτοις
παρρησιαζόμενοι ἐνώπιόν μου,
μηδαμῶς τὴν θείαν μου δόξαν ὁρῶντες,
ἣν εἰ ἔβλεπον, οὐκ ἂν τοῦτο ἐποίουν,
οὐδὲ πρόπυλα τοῦ ναοῦ μου τοῦ θείου
οὕτως αὐθαδῶς εἰσβῆναι κατετόλμων. —
Ταῦτα οὖν πάντα γνώσεται πᾶς ὁ θέλων
ἀληθῆ καὶ βέβαια τὰ γεγραμμένα
ἔργων ἐξ αὐτῶν, ὧν ἱερεῖς ποιοῦμεν,
καὶ ψεῦδος οὐδὲν οὐδαμῶς ἂν εὑρήσει
καὶ πεισθήσεται καὶ καθομολογήσει

D H O R Z — METRUM XII

122 δήλαιοι D δίκαιοι Z ‖ 123 πάλαι : πάλιν O ‖ προδούς με : προδότης ORZ ‖ 127 ἐς Z ‖ 131 οὕτως O ‖ 133 μου+τῶν Z ‖ 134 ἄλλων : ἁγίων ORZ ‖ 140 πυρρησιαζόμενοι D ‖ 144 εἰσβῆναι : εἰσδῦναι Z ‖ 145 Σ ὁ πατήρ D ‖ 148 εὑρήσῃ Z ‖ 149 καθομολογεῖ σοι O

pires même que n'importe quel poison mortel
sont leurs âmes, les méchants, les pervers!
Jadis, en effet, Judas qui me trahit,
recevant de mes mains le pain, indignement[1],
le mangea comme un morceau de pain ordinaire,
et par là Satan aussitôt
entra en lui et le fit me trahir
effrontément, moi son Maître,
en le prenant à son service, comme un esclave,
pour exécuter ses desseins :
c'est ce qui leur arrive, à leur insu,
à tous ceux qui avec audace et présomption touchent
indignement à mes divins mystères,
eux qui du haut de leurs trônes dominent tous les autres,
qui dominent les clercs, qui dominent les prêtres,
eux dont la conscience était déjà gâtée
et après cela, en tout cas, est condamnée,
et qui foulent mon divin parvis,
eux qui sans vergogne se tiennent dans le sanctuaire,
pleins d'audace, en ma présence,
sans voir du tout ma gloire divine,
car, s'ils la regardaient, ils n'agiraient pas ainsi,
ils ne seraient pas assez hardis pour franchir avec cette audace
les portiques de mon temple divin. »
Tout cela, tout ce que j'ai écrit, n'importe qui
reconnaîtra que c'est véritable et certain,
d'après les œuvres mêmes que nous faisons, nous les prêtres,
il ne trouvera absolument aucun mensonge (dans mes paroles),
et il sera convaincu et confessera

123 s. Jn 13, 26-27 — 140. Job 22, 26 — 141. Jn 11, 40 — 142. I Cor. 2, 8

1. Recevoir le pain indignement, cf. **26,** 39 et la note.

ὡς Θεὸς αὐτὸς δι' ἐμοῦ ταῦτα εἶπεν.
— Εἰ μή τις αὐτὰ τῶν ποιούντων ὑπάρχει
καὶ σπεύδει λόγοις ἀπατηλοῖς σκεπάσαι
καὶ τὰς ἰδίας αἰσχύνας συγκαλύψαι,
ἃς ἐνώπιον ἀγγέλων καὶ ἀνθρώπων
ἀποκαλύψει ὁ τὰ κρυπτὰ τοῦ σκότους
ἀποκαλύπτων κύριος Θεὸς πάντων. —
Ποῖος ἐξ ἡμῶν τῶν νυνὶ ἱερέων
τὰς ἀνομίας ἑαυτοῦ προκαθάρας
οὕτω κατετόλμησεν ἱερωσύνης ;
Ποῖος ἂν εἴποι τοῦτο ἐν παρρησίᾳ,
ὅτι κατεφρόνησε δόξης τῆς κάτω
καὶ διὰ μόνην ἱερουργεῖ τὴν ἄνω ;
Ποῖος τὸν Χριστὸν ἠγάπησε καὶ μόνον,
καὶ χρυσὸν πάντα καὶ χρήματα παρεῖδε ;
Ποῖος ἠρκέσθη τοῖς κατὰ χρείαν μόνοις
καὶ τοῦ πλησίον οὐκ ἐνοσφίσατό τι ;
Ποῖος τὴν συνείδησιν κατεγνωσμένην
ἑαυτοῦ οὐ κέκτηται ἀπὸ λημμάτων,
δι' ὧν ἠπείχθη γενέσθαι ἢ ποιῆσαι,
ὠνησάμενος ἢ πωλήσας τὴν χάριν ;
Ποῖος οὐ προέκρινεν ἀξίου φίλον
τὸν ἀνάξιον μᾶλλον ἐγκαταστήσας ;
Ἑαυτοῦ δὲ τίς οὐ σπουδάζει γνησίους
φίλους ἀνθρώπους ἐπισκόπους ποιῆσαι,
ὅπως λαμβάνῃ ἐν ἐξουσίᾳ πάντα
τὰ ἀλλότρια ; Τοῦτο γὰρ τῶν μετρίων,
ὃ καὶ ἀναμάρτητον δοκοῦσιν εἶναι

D H O R Z — METRUM XII

159 οὕτως D ‖ 163-164 > RZ ‖ 168 οὐ > O ‖ 177 ὃ : ἢ H ‖ ἀναμαρτήτων H ‖ εἶναι δοκοῦσιν ∾ D

153. Jude 13 — 154. Lc 12, 9 — 155 s. Sir. 1, 30. Matth. 10, 26. I Cor. 4, 5

1. Faire passer un ami devant un plus méritant. Syméon peut se

que c'est Dieu même qui les a prononcées par ma bouche :
à moins que parmi ceux qui agissent ainsi, il ne s'en trouve un
pour s'efforcer, avec des paroles trompeuses, de voiler
et de dissimuler sa propre honte
— cette honte que, en présence des anges et des hommes,
dévoilera celui qui dévoile
les secrets des ténèbres, le Seigneur, Dieu de l'Univers.
Lequel d'entre nous, prêtres de maintenant,
a commencé par purifier ses iniquités,
pour oser porter ainsi la main sur la prêtrise?
Lequel peut dire avec pleine confiance
qu'il a méprisé la gloire d'ici-bas
et que c'est uniquement pour celle d'en-haut qu'il est prêtre?
Lequel a aimé le Christ, le Christ seul,
et a méprisé tout ce qui est or et richesse?
Lequel s'est contenté du strict nécessaire
et n'a fait aucun tort à son prochain?
Lequel ne garde sur la conscience
des cadeaux qui l'accusent,
les cadeaux qui l'ont poussé à devenir ou à en faire d'autres (prêtres)
en achetant ou en vendant la grâce?
Lequel n'a (jamais) fait passer un ami devant un plus méritant[1]
en le promouvant de préférence malgré son indignité?
Qui donc ne tâche de faire nommer évêques
ses amis, ses bons amis,
afin de recevoir en sa possession tout
ce qui ne lui appartient pas? Et encore tout cela est-il le fait des plus modérés,
et dans cette façon de faire ils ne voient aucun péché

glorifier au contraire de ne jamais faire acception de personne, 22, 131 s.

ἄλλης αἴροντες πράγματα ἐκκλησίας.
Ποῖος διὰ αἴτησιν τῶν κατὰ κόσμον
δυναστῶν, φίλων, πλουσίων καὶ ἀρχόντων
οὐκ ἐχειροτόνησε καὶ παρ' ἀξίαν ;
Ὄντως οὐδεὶς σήμερον τούτων ὑπάρχει
ἔχων ἁπάντων καθαρὰν τὴν καρδίαν,
μὴ κεντούμενος ὑπὸ τοῦ συνειδότος,
ὅτι πάντως ἐν ἐποίησεν ὧν εἶπον,
ἀλλ' ἐξαμαρτάνομεν ἀδεῶς πάντες,
μήτε τοῦ κακοῦ ἐκκοπὴν μελετῶντες,
μηδὲ τοῦ καλοῦ ποιούμενοι τὴν πρᾶξιν·
καὶ διὰ τοῦτο οὐδὲ μετανοοῦμεν
εἰς τὸ βάθος τῶν κακῶν βαπτισθέντες,
καὶ ἀναλγήτως ἐγκείμεθα πρὸς ταῦτα.
Δόξης γὰρ ὑπάρχοντες ἄγευστοι θείας
τὴν κάτω δόξαν παριδεῖν οὐ δυνάμεθα·
ἔρως δὲ δόξης, τῆς τῶν ἀνθρώπων λέγω,
ψυχὴν οὐκ ἐᾷ ταπεινωθῆναι ὅλως,
οὐδὲ μέμψασθαι ἑαυτὴν ἑκουσίως.
Πῶς οὖν, εἰπέ μοι, τούτων οὕτως ἐχόντων,
ὁ δόξαν θηρώμενος τὴν τῶν ἀνθρώπων
καὶ πλούτου δεόμενος τοῦ φθειρομένου,
ὁ ἐπιθυμῶν χρυσίου πλῆθος ἔχειν,
ὁ εἰς ἁρπαγὴν ἀκόρεστος τυγχάνων
καὶ μνησικακῶν τοῖς μὴ συχνῶς διδοῦσι,
Θεὸν ἔνοικον ἔχειν εἰπεῖν τολμήσει
ἢ φιλεῖν Χριστὸν ἢ Πνεῦμα Χριστοῦ ἔχειν ;
Ὁ δὲ μὴ Χριστὸν καὶ τὸν αὐτοῦ Πατέρα
καὶ Πνεῦμα τὸ Ἅγιον εἰσδεδεγμένος,

D H O R Z — METRUM XII

184 κεντουμένην D ‖ 184, 183, 186, 185 ∽ D ‖ 187 μελετοῦντες O ‖ 188 μήτε Z ‖ 190 M ! ‖ τὸ > D ‖ βάθος+πάντων D ‖ βάθος+τὸ ORZ ‖ 193 M ! ‖ παριδεῖν τὴν πρόσκαιρον καὶ φθειρομένην καὶ κάτω ὅλως οὐ δυνάμεθα δόξαν D ‖ 195 ταπεινοῦσθαι ORZ ‖ 198 ὁ θηρώμενος

alors qu'ils s'adjugent les biens d'une autre église!
Lequel donc n'a jamais, à la requête des gens du monde
— princes, amis, riches, puissants —,
élu (des évêques) sans qu'ils le méritent?
En vérité, il n'y a personne aujourd'hui
qui de tout cela ait le cœur pur
et qui ne sente l'aiguillon de sa conscience,
pour avoir fait au moins une des choses que j'ai dites;
tous, nous péchons sans aucun scrupule,
sans prendre à cœur d'éliminer ce mal,
sans nous appliquer à la pratique du bien,
et voilà pourquoi nous ne faisons pas non plus pénitence,
plongés dans un abîme de maux
sans en ressentir aucune souffrance.
En effet, ignorant le goût de la gloire divine,
nous ne saurions mépriser la gloire d'ici-bas ;
et la passion de la gloire — je veux dire de celle des hommes —
empêche absolument notre âme de s'humilier
et de se décider à se faire les reproches (qu'elle mérite).
Comment donc, dis-moi, dans ces conditions,
celui qui est à l'affût de la gloire des hommes
et en quête de la richesse périssable,
celui qui aspire à posséder un monceau d'or,
qui n'est jamais rassasié de rapines
et garde rancune à qui ne lui donne pas à pleines mains,
comment osera-t-il dire qu'il a Dieu demeurant en lui
ou qu'il aime le Christ, ou qu'il possède l'Esprit du Christ?
Et celui qui n'a pas reçu en lui le Christ
et son Père et l'Esprit-Saint

τὴν τῶν ἀνθρώπων δόξαν ∽ D ‖ 203 ἔχειν Θεὸν ἔνοικον ∽ D ‖ 204 > ORZ ‖ 206 τὸ > Z

194 s. Jn 12, 43 — 204. Rom. 8, 9

γνωστῶς οἰκοῦντα καὶ ἐμπεριπατοῦντα
τὸν ἕνα Θεὸν ἐν τῇ αὐτοῦ καρδίᾳ,
πῶς τὴν δουλείαν ἐνδείξεται γνησίαν,
ἐκ τίνος δ' ἄλλου τὴν ταπείνωσιν μάθῃ
ἢ πῶς διδαχθήσεται θέλημα θεῖον ;
Τίς μεσιτεύσει τοῦτον ἢ Θεῷ καταλλάξει
καὶ παραστήσει ἀνεπαίσχυντον λάτρην
Θεῷ τῷ μόνῳ καθαρῷ καὶ ἀχράντῳ,
ᾧ τὰ Χερουβὶμ οὐ τολμᾷ ἀτενίσαι,
ὄντι ἀγγέλοις ἀπροσίτῳ τοῖς πᾶσι ;
Τίς βεβαιώσει κρατεῖν ἀναμαρτήτως
καὶ ἱερουργεῖν ἀκατακρίτως τοῦτον
τοῦ ἀμώμου θύματος φρικτὴν λατρείαν ;
Ποῖος ἄγγελος, ποῖος ἄνθρωπος τοῦτο
εἰπεῖν δύναται ἢ ποιῆσαι ἰσχύσει ;
Ἐγὼ γὰρ λέγω καὶ μαρτύρομαι πᾶσι
— μηδεὶς πλανάσθω, μὴ λόγοις ἀπατάσθω ! —
Ὅστις πρότερον οὐκ ἀφήσει τὸν κόσμον
καὶ τὰ τοῦ κόσμου ἀπὸ ψυχῆς μισήσει
καὶ μόνον Χριστὸν γνησίως ἀγαπήσει
καὶ ψυχὴν αὐτὴν δι' αὐτὸν ἀπολέσει,
μηδὲν μεριμνῶν τῶν εἰς ζωὴν ἀνθρώπου,
ἀλλ' ὡς καθ' ὥραν ἀποθνήσκων τυγχάνει
καὶ πολλὰ κλαύσει δι' αὐτὸν, καὶ πενθήσει
κἀκείνου μόνου ἕξει ἐπιθυμίαν
καὶ διὰ πολλῶν θλίψεών τε καὶ πόνων
καταξιωθῇ Πνεῦμα λαβεῖν τὸ Θεῖον,

D H O R Z — METRUM XII

209 ἐνδέξεται O ‖ 210 δ' : δὲ ORZ ‖ 211 ἢ πῶς : πῶς δὲ D ‖ 212 ἢ τίς μεσιτεύσειε τῷ Θεῷ τοῦτον D ‖ 216 τοῖς πᾶσι ἀγγέλοις ἀπροσίτῳ ∽ D ‖ 218 ταύτην D ‖ 226 > H ‖ Χριστὸν μόνον ἀγαπήσει γνησίως ∽ D ‖ 227 αὐτὴν : αὐτοῦ O

207. II Cor. 6, 16 — 211. Ps. 142, 10 — 212. II Cor. 5, 20
213. II Tim. 2, 15 — 225. I Jn 2, 15 — 227. Matth. 16, 25
232. Act. 14, 22

habitant et se promenant *de façon consciente*,
Dieu unique, dans son cœur,
comment se montrera-t-il serviteur sincère,
de quel autre maître apprendra-t-il l'humilité,
comment s'instruira-t-il de la volonté de Dieu?
Qui lui servira de médiateur, qui le réconciliera avec Dieu
et le présentera comme un serviteur sans reproche
devant Dieu, le seul pur, le seul sans tache,
devant celui que les Chérubins n'osent fixer
et qui est inaccessible à tous les anges?
Qui garantira que cet homme porte la main (sur Dieu) sans péché
et qu'il célèbre sans crime
le culte redoutable de la victime immaculée?
Quel ange, quel homme
peut dire cela ou sera capable de le faire?
Pour moi, voici ce que je dis et atteste à tous
— que personne ne se trompe, ne se laisse égarer par d'autres paroles[1] — :
qui n'aura pas d'abord renoncé au monde,
haï de toute son âme les choses du monde,
aimé sincèrement le Christ seul
et perdu son âme à cause de lui,
sans se faire aucun souci des besoins de la vie humaine,
mais mourant pour ainsi dire à toute heure,
qui, à cause de lui, ne se sera pas répandu en pleurs et en affliction,
sans rien désirer en dehors de lui,
qui n'aura pas, à force de détresses et de travaux,
été jugé digne de recevoir le même Esprit divin

1. Que personne ne se laisse égarer ! Cf. **55,** 173. Incise fréquente chez Syméon qui craint les illusions. Ce sont elles qui ruinent la vie spirituelle ; cf. **1,** 130.

ὃ καὶ δέδωκε τοῖς θείοις ἀποστόλοις,
ἵνα δι' αὐτοῦ πᾶν ἐκδιώξῃ πάθος,
πᾶσαν δ' ἀρετὴν εὐκόλως κατορθώσῃ
καὶ δακρύων κτήσηται πηγὰς ἀφθόνους,
— ὅθεν κάθαρσις καὶ ψυχῆς θεωρία,
ὅθεν τοῦ θείου θελήματος ἡ γνῶσις,
ὅθεν φωτισμὸς ἐλλάμψεως τῆς θείας
καὶ θεωρία φωτὸς τοῦ ἀπροσίτου,
ἐξ οὗ ἡ ἀπάθεια, ἡ ἁγιότης
δίδοται πᾶσιν τοῖς καταξιωθεῖσιν
ὁρᾶν καὶ ἔχειν τὸν Θεὸν ἐν καρδίᾳ
καὶ φυλάττεσθαι παρ' αὐτοῦ καὶ φυλάττειν
ἀτρώτους αὐτοῦ τὰς ἐντολὰς τὰς θείας —,
ἱερωσύνην καὶ ψυχῶν προστασίαν
καταδέξασθαι ἢ ἄρξαι μὴ τολμήσῃ!
Ὥσπερ γὰρ Χριστὸς Θεῷ Πατρὶ ἰδίῳ
καὶ προσφέρεται καὶ ἑαυτὸν προσφέρει,
οὕτω καὶ ἡμᾶς αὐτός τε προσφέρει
καὶ αὐτὸς ἡμᾶς οὕτως δέχεται πάλιν.
Ἐπεὶ εἰς κρίμα καὶ κατάκριμα ἔσται
ἡ ἐγχείρησις τῶν τοιούτων πραγμάτων,
φονέως χεῖρον, μοιχοῦ χεῖρον καὶ πόρνου
καὶ πάντων ἄλλων ἔστιν ἁμαρτημάτων.
Ταῦτα οὖν πάντα πρὸς βροτοὺς νῦν τελοῦνται,
εἰς ἀλλήλους γὰρ ἁμαρτάνομεν πάντως·

D H O R Z — METRUM XII

243 πᾶσι ORZ ‖ 245 καὶ — αὐτοῦ > O ‖ 247 ἱερωσύνη D ἱερωσύνης Z ‖ 248 καταδόξασθαι O ‖ 251 M ! ‖ οὕτως H ‖ αὐτὸς : ἑαυτοὺς D ‖ προσφέρειν O ‖ 252 οὕτος D οὕτω Z ‖ 257-304 > H

234. Jn 20, 22 — 241. I Tim. 6, 16 — 250. Hébr. 9, 14

1. Ici on attendrait plutôt κάθαρσις ψυχῆς καὶ θεωρία. En tout cas la θεωρία ne vient qu'après la purification ; cf. **44,** 120 ; **55,** 20 et la note.

qu'il a donné aux divins Apôtres,
afin que cet Esprit lui permette de chasser toute passion,
d'exceller aisément en toute vertu
et de faire jaillir d'intarissables fontaines de larmes,
— d'où naissent pour l'âme la purification et la contemplation[1],
d'où la connaissance du divin vouloir,
d'où l'illumination par la splendeur divine
et la contemplation de la lumière inaccessible,
qui procure l'impassibilité et la sainteté
à tous ceux qui ont été jugés dignes
de voir et de posséder Dieu dans leur cœur,
d'être gardés par lui et de garder
sans un accroc ses commandements divins —,
(qu'un tel homme) n'ait pas l'audace d'accepter
le sacerdoce et l'autorité sur les âmes, ou de s'y pousser[2].
De même, en effet, que le Christ, devant Dieu son Père
à la fois est offert et s'offre lui-même[3],
de même pour nous, il nous offre lui-même
et lui-même à son tour, semblablement, nous reçoit.
Et puisque doit être imputé à crime et à condamnation
le fait de mettre la main sur de telles réalités,
c'est (une faute) pire que le meurtre, pire que l'adultère et la fornication,
pire que tous les autres péchés :
car tous ces péchés, ce sont des mortels qui en sont victimes
puisque évidemment nous y péchons les uns contre les autres,

2. Sur le respect dû au ministère, cf. tout l'Hymne **19.**

3. Est offert et s'offre lui-même. Souvenir de la Liturgie de saint Jean Chrysostome. Cf. la prière du prêtre pendant le chant du Cheroubicon : Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν. Sur la controverse suscitée en 1155-1156 par cette formule, voir J. GOUILLARD, « Le Synodicon de l'Orthodoxie », dans *Travaux et Mémoires,* 2 (Paris 1967), p. 210-215.

ὁ δὲ τὰ θεῖα καπηλεύων θρασέως
καὶ ἀπεμπολῶν τοῦ Πνεύματος τὴν χάριν
εἰς αὐτὸν πάντως τὸν Θεὸν ἁμαρτάνει.
Ὁ γὰρ καταστὰς εἰς πρόσωπον τοῦ Λόγου
οὕτω βιοῦν ὀφείλει ὥσπερ ἐκεῖνος
καὶ οὕτως· ἀκολούθει ! λέγειν ἐκείνῳ·
Αἱ ἀλώπεκες ἔχουσι φωλεοὺς πάντως
καὶ τὰ πετεινὰ κατασκηνώσεις πάντα,
ἐγὼ δ' οὐκ ἔχω, τὴν κεφαλὴν ποῦ κλίνω,
ὁ Χριστοῦ λάτρης ἠξιωμένος.
Οὐδὲν γὰρ ὅλως αὐτὸς ἴδιον ἔχειν
οὐδὲ κεκτῆσθαι ὀφείλει τι τοῦ κόσμου,
εἰ μὴ τὴν τοῦ σώματος χρείαν καὶ μόνον,
τὰ δ' ἄλλα πάντα τοῖς πένησι καὶ ξένοις
καὶ τῇ ἑαυτῶν προσήκει ἐκκλησίᾳ.
Εἰ δ' αὖ τολμήσει εἰς ἰδίας ἐξόδους
ἀκαίρως χρῆσθαι τούτοις μετ' ἐξουσίας
καὶ συγγενέσι τὰ τῶν ξένων χαρίζειν,
οἴκους τε κτίζειν καὶ ἀγροὺς ἀγοράζειν
καὶ ἀνδραπόδων ἐπισύρεσθαι πλῆθος,
οὐαί, ὁποῖον τὸ κατάκριμα τούτου !
Πάντως ἀνθρώπῳ παρεικάζεται οὗτος
τὴν τῆς ἰδίας γυναικὸς ὅλην προῖκα
καταφαγόντι κακῶς ἐξ ἀφροσύνης·
ὃς ἄρα κρατηθεὶς καὶ μὴ ἔχων τοῦ δοῦναι
ταύτην ἀπαιτούμενος χρήματα πάντως
πρὸς τῇ στερήσει τῆς ἑαυτοῦ συζύγου
καὶ εἰς φυλακὴν πέμπεται καθειρχθῆναι.

